# ΝΙΚΟΛΑΟΥ

## ΕΠΙΣΚΟΠΟΥ ΜΕΘΩΝΗΣ

### ΛΟΓΟΙ ΔΥΟ

κατὰ τῆς αἱρέσεως τῶν λεγόντων τὴν σωτήριον ὑπὲρ ἡμῶν θυσίαν μὴ τῇ τρισυποστάτῳ θεότητι προσαχθῆναι, ἀλλὰ τῷ πατρὶ μόνῳ κτλ.

Νῦν πρῶτον ἐκδοθέντες

ὑπὸ

ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ

ΑΝΔΡΟΝΙΚΟΥ ΔΗΜΗΤΡΑΚΟΠΟΥΛΟΥ.

ΕΝ ΛΕΙΨΙΑι.
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΟΘ. ΒΙΓΑΝΔΟΥ
1865.

1865

НБ ОНУ імені І.І.Мечникова

БИБЛIОТ. ИМПЕРАТ. НОВОРОС. УНИВЕРСИТЕТА
НБ ОНУ імені І.І.Мечникова

ΠΑΝΑΓΙΩΤΗι Π. ΝΑΟΥΜ

ΠΡΟΞΕΝΩι ΕΝ ΛΕΙΨΙΑι ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΤΩΝ ΕΛΛΗΝΩΝ ΚΑΙ ΙΠΠΟΤΗι ΤΟΥ ΤΑΓΜΑΤΟΣ ΤΟΥ ΣΩΤΗΡΟΣ.

ΠΕΤΡΩι Ι· ΡΙΖΩι

ΚΑΙ

ΝΑΟΥΜ Χ· ΠΑΠΠΑι

ΕΝΤΙΜΟΤΑΤΟΙΣ ΕΜΠΟΡΟΙΣ ΚΑΙ ΕΠΙΤΡΟΠΟΙΣ ΤΟΥ ΕΝ ΛΕΙΨΙΑι ΝΑΟΥ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ ΕΛΛΗΝΩΝ

ΑΝΑΤΙΘΗΣΙΝ

Ο ΕΚΔΟΤΗΣ.

НБ ОНУ імені І. І. Мечникова

НБ ОНУ імені І.І.Мечникова

# ΠΡΟΛΟΓΟΣ.

*Τὸ ἐν τῇ βιβλιοθήκῃ τῆς ἱερᾶς Συνόδου ἐν Μόσχᾳ τριακοσιοστὸν πεντηκοστὸν τρίτον χειρόγραφον, ὅπερ κατὰ τὴν δεκάτην τετάρτην ἑκατονταετηρίδα ἀπογέγραπται, ὡς τῷ* Matthaei *δοκεῖ* *), *περιέχει ἄλλα τε ἀξιοσπούδαστα Ἑλλήνων ἐκκλησιαστικῶν συγγραφέων διάφορα συγγράμματα, ἀνέκδοτα μέχρι τοῦδε, καὶ Νικολάου ἐπισκόπου Μεθώνης τινά. Ἐκ τοῦ χειρογράφου τούτου ἐξεγραψάμην κατὰ τὸ θέρος τοῦ ἔτους* 1863, *ἐν Μόσχᾳ διατρίβων, διαφόρων ἄλλων συγγράμματα καί τινα ἐκ τῶν τοῦ Μεθώνης, ἐξ ὧν ἐκδίδωμι νῦν τύποις δύο, τὰ δὲ λοιπὰ ἐκδώσω μετ᾽ οὐ πολὺ μετ᾽ ἄλλων ἀνεκδότων ἑτέρων συγγραφέων, ὅτε ἐκτενέστερον λόγον ποιήσομαι περί τε τοῦ ἡμετέρου Νικολάου καὶ ἐκείνων· νῦν δὲ λέγω ὀλίγα περὶ τοῦ βίου καὶ τῶν συγγραμμάτων αὐτοῦ.*

*Νικόλαος ἐπίσκοπος τῆς ἐν Πελοποννήσῳ Μεθώνης, ὁ πολέμιος τῆς δυσσεβείας καὶ τῆς*

---

*) Accur. Codic. graecor. Mss. biblioth. Mosquens.

НБ ОНУ імені І.І. Мечникова

κακοφροσύνης τῶν αἱρετιζόντων καταγωνιστὴς γενναιότατος, ἤκμαζεν ἐπὶ τοῦ αὐτοκράτορος Μανουὴλ τοῦ Κομνηνοῦ, τοῦ βασιλεύσαντος ἀπὸ τοῦ ἔτους 1143—1180. Ἦν δὲ ὁ ἐπισημότερος φιλόσοφος καὶ θεολόγος τῆς ἐποχῆς ἐκείνης, περὶ οὗ Νικηφόρος ὁ φιλόσοφος *) φησὶ τάδε·

Ὅσοι γὰρ θεσμοὺς πατέρων χριστοφόρων,
ἀποστολικὰς παραδόσεις ἐνθέους,
πίστεως ἁπλῆς ἀληθεστάτους ὅρους
θέλετε ἰδεῖν ἀμέπτους ὀρθοδόξους,
δεῦτε προσῆτε τῷ σοφῷ διδασκάλῳ
Νικολάῳ λάμψαντι νέῳ Μεθώνης **)·
ἔνθους ἀρετῆς, σώφρονος συνουσίας,
ἣν ἔννομοι κυροῦσι τῆς Γραφῆς τύποι,
ὁ τῶνδε πατὴρ γνησίων νοημάτων,
δι' ὧν νόθον κύλικα πορνικοῦ σπόρου
ἔξωθεν ἕλκων, ἀλλόφυλον ὡς γένος
πρὸς ἐξαπάτην τῶν λόγων τοὺς φληνάφους
ἤλεγξε, κατέβαλε, ῥίψας εἰς χάος,
καὶ συλλογισμῶν τοὺς ἀσυμπλόκους βρόχους
ἔλυσεν ἄρδην ὡς ἀραχνίους μίτους.

---

*) Οὗτός ἐστιν ἴσως ὁ τῷ ὄντι φιλόσοφος Νικηφόρος ὁ Βλεμμίδης, ὁ γεννηθεὶς μὲν ἐν Κωνσταντινουπόλει ἐν ἔτει 1198, ἀποθανὼν δὲ ἐν ἔτει 1272 ἐν τῇ παρὰ τῇ Ἐφέσῳ Μονῇ τῶν Ἠμαθίων, ἣν αὐτὸς ἐδείματο.

**) Λέων ὁ Ἀλλάτιος (De Eccles. Occiden. et Orient. perpet. consens. p. 682, ἔνθα καὶ οἱ στίχοι οὗτοι ὑπάρχουσι) καὶ μετ' αὐτὸν ὁ Φαβρίκιος (Biblioth. Graec. tom. XI. p. 290, ed. Harles) καὶ ἄλλοι εἰκάζουσιν ἐκ τοῦ στίχου τούτου, ὅτι δύο ὑπῆρξαν

НБ ОНУ імені І.І.Мечникова

Ὁ Νικόλαος μετὰ τὴν ἐν ἔτει 1156 ἐν Κωνσταντινουπόλει συγκροτηθεῖσαν Σύνοδον κατὰ τοῦ μετὰ τὸν τοῦ Εὐθυμίου θάνατον ὑποψηφίου τοῦ πατριαρχικοῦ θρόνου τῆς Ἀντιοχείας Σωτηρίχου τοῦ Παντευγένου καὶ τῶν αὐτῷ ὁμοφρονούντων, ἧς προεξάρχοντες ἦσαν ὁ Κωνσταντινουπόλεως Κωνσταντῖνος καὶ ὁ Ἱεροσολύμων Ἰωάννης, ἐπέμφθη ὑπὸ τοῦ αὐτοκράτορος Μανουὴλ εἰς διαφόρους πόλεις καὶ χώρας, ἵνα τοὺς πιστοὺς πρὸς τὴν εὐσέβειαν στηρίξῃ. Ἄγνωστον δέ ἐστι πόσον χρόνον μετὰ ταῦτα ἔζησεν, ἀλλὰ πάντως οὐχὶ πολύν, διότι γέρων ἦν κατὰ τὸ ἔτος 1156, ὅτε τὸν πρῶτον λόγον τῶν νῦν ἐκδιδομένων ἔγραφεν, ὡς ὁ αὐτὸς ἐν αὐτῷ φησιν. Ὁ Ἀλλάτιος (De eccles. Occident. et Orient. perpet. consens. p. 690) ἀναφέρει, ὅτι ὁ ἡμέτερος Νικόλαος παρῆν ἐν τῇ ἐν Κωνσταντινουπόλει συγκροτηθείσῃ Συνόδῳ ἐν ἔτει 1166 περὶ τοῦ ῥητοῦ „Ὁ Πατήρ μου μείζων μού ἐστιν“ *). Ἀλλ᾽ ἐν τοῖς πρακτικοῖς τῆς Συνόδου ταύτης, ἅπερ ὁ Καρ-

---

ἐπίσκοποι Μεθώνης τῷ ὀνόματι Νικόλαος· ἀλλὰ νομίζω, ὅτι ὁ ποιητὴς ὀνομάζει ἐνταῦθα τὸν ἡμέτερον Νικόλαον νέον, ἀντιπαρατιθεὶς αὐτὸν πρὸς τὸν ἅγιον Νικόλαον τὸν ἐπίσκοπον Μύρων τῆς Λυκίας. Ὅτι μὲν καὶ ἕτεροι Νικόλαοι ἐπίσκοποι Μεθώνης ὑπῆρξαν, ἐστὶ δυνατόν· ὅτι δὲ τὰ ὑπὸ τὸ ὄνομα Νικολάου Μεθώνης σωζόμενα συγγράμματα ἀνήκουσι διαφόροις Νικολάοις τῆς αὐτῆς πόλεως ἐπισκόποις, οὐδεμία ὑπάρχει ἔνδειξις· ἰδ. Ullmann, Theologische Studien und Kritiken, 1833. φυλλάδ. γ΄. σελ. 701.

*) Ἰωάνν. ιδ΄. 28.

НБ ОНУ імені І.І. Мечникова

δινάλιος Ἄγγελος Μάϊος ἐξέδωκε (Scriptorum veterum nova Collectio tom. IV), Νικολάου μὲν Μεθώνης ὄνομα οὐδαμοῦ φαίνεται, πολλαχοῦ δὲ τούτων ὑπάρχει τὸ ὄνομα Μεθύμνης Νικολάου· ὥστε ὁ Ἀλλάτιος πάντως ἔσφηλεν ἀναγνοὺς ἐν τῷ χειρογράφῳ ἀντὶ Μεθύμνης Μεθώνης.

*Τὰ σωζόμενα συγγράμματα τοῦ Νικολάου.*

Ἐπειδὴ οὐδεὶς μέχρι τοῦδε ἐξέθηκεν ἀκριβῆ κατάλογον τῶν συγγραμμάτων τοῦ ἡμετέρου Νικολάου, ἐκτίθημι νῦν αὐτὸν, ὅσον ἔνεστιν ἀκριβέστερον, κατὰ τὴν ἑξῆς τάξιν.

1) Πρὸς τοὺς διστάζοντας καὶ λέγοντας, ὅτι ὁ ἱερουργούμενος ἄρτος καὶ οἶνος οὐκ ἔστι σῶμα καὶ αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐκδέδοται ἐν τέλει τῶν λειτουργιῶν Ἰακώβου, Βασιλείου καὶ Χρυσοστόμου ἐν Παρισίοις 1560 καὶ ἐν Biblioth. vet. Patrum. tom. II. Paris. 1642. 2) Ἀνάπτυξις τῆς θεολογικῆς στοιχειώσεως Πρόκλου Πλατωνικοῦ φιλοσόφου, πρὸς τὸ μὴ συναρπάζεσθαι τοὺς ἀναγινώσκοντας ὑπὸ τῆς ὑποφαινομένης αὐτῇ πειθανάγκης καὶ σκανδαλίζεσθαι κατὰ τῆς ἀληθοῦς πίστεως. Ἐκδέδοται ὑπὸ J. Th. Voemel. Francofurti 1825. 3) Ἐρωτήσεις καὶ ἀποκρίσεις θεολογικαί. Ἐκδέδονται ὑπὸ τοῦ αὐτοῦ ἐν τῇ αὐτῇ πόλει. 1825 καὶ 1826. 4) Πρὸς Λατίνους περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, ὅτι ἐκ τοῦ Πατρός, οὐ μὴν καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται.

Ἐκδέδοται ὑπὸ Σιμωνίδου ἐν Λονδίνῳ 18..*). Τὸ ὑπὸ τοῦ Φαβρικίου (Biblioth. Graec. tom. XI. p. 290) ὡς ἴδιον σύγγραμμα τοῦ Νικολάου ἀριθμούμενον καὶ ἀρχόμενον „Ἐχρῆν μὲν μήδ' ἀπολογεῖσθαι τοῖς οὕτω καινοφώνοις καὶ καινοπίστοις“ ἐστὶ μέρος τοῦ λόγου τούτου, οὗ ἡ ἀρχή· Βασιλεῦ οὐράνιε, παράκλητε, ἀγαθέ. 5) Κατὰ τῆς αἱρέσεως τῶν λεγόντων τὴν σωτήριον ὑπὲρ ἡμῶν θυσίαν μὴ τῇ τρισυποστάτῳ θεότητι προσαχθῆναι, ἀλλὰ τῷ Πατρὶ μόνῳ κτλ. 6) Τὰ λείποντα περὶ τῆς θείας ἱερουργίας, καὶ τοῦ πῶς ὁ Χριστὸς λέγεται προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος**). Τῶν νῦν ἐκδιδομένων δύο τούτων λόγων ὁ μὲν πρῶτος ἐστὶ τρίτος τῶν τῷ αὐτοκράτορι πεμφθέντων, ὁ δὲ δεύτερος ἐστὶν ἴσως μέρος ἑνὸς τῶν ἑτέρων· συνετάχθησαν δὲ ἐξ αἰτίας τοιαύτης. Ἐπὶ τοῦ αὐτοκράτορος Μανουὴλ τοῦ Κομνηνοῦ „ἐκινήθη δόγμα περὶ τοῦ, Σὺ εἶ ὁ προσφέρων καὶ προσφερόμενος. Καὶ οἱ μὲν μόνῳ τῷ Πατρὶ τὴν ἐπὶ τοῦ σταυροῦ θυσίαν προσηνέχθαι ἔφασκον, οὐ μὴν καὶ αὐτῷ τῷ προσενέγκαντι Λόγῳ (εἰ γὰρ τοῦτο, ἔλεγον, εἰς δύο πρόσωπα πάντως ὁ εἷς τοῦ Θεοῦ υἱὸς διαστήσεται, ὁποῖα

*) Τοῦ πονήματος τούτου προέταξεν ὁ Σιμωνίδης τὴν εἰκόνα τοῦ Νικολάου· κατὰ πόσον ὅμως αὕτη ὁμοιάζει τῷ εἰκονιζομένῳ, Κύριος οἶδε!

**) Ἐν τῇ πρὸ τοῦ χερουβικοῦ ὕμνου μυστικῶς ὑπὸ τοῦ ἱερέως ἀναγινωσκομένῃ εὐχῇ ἐν ταῖς λειτουργίαις Βασιλείου καὶ Χρυσοστόμου.

НБ ОНУ імені І.І.Мечникова

ὁ λῆρος παρεισῆγε Νεστόριος)· οἱ δὲ καὶ αὐτῷ τῷ Υἱῷ γενέσθαι τὴν προσφορὰν ἰσχυρίζοντο, ὡς ἑνὶ καὶ ἀχωρίστῳ τῆς ὑπεραρχίου Τριάδος. Οἱ γοῦν τότε λογιότητι χαίροντες τῇ προτέρᾳ προσεφύησαν δόξῃ. Ἦσαν δὲ οὗτοι Σωτήριχος ὁ Παντεύγενος, ὑποψήφιος ὢν τῆς κατὰ Συρίαν Ἀντιοχείας· ὁ Δυρραχίου Εὐστάθιος· ὁ Βασιλάκης Νικηφόρος, καὶ ὁ τῆς Θεσσαλονίκης Μιχαήλ, οἳ καὶ καθῄρηνται πάντες.“ (ἰδ. Tafel, Annae Comnen. supplement. histor. ecclesiast. Graecorum. Tubingae 1832. Ἱστορ. Νικήτα Χωνιάτου σελ. 275. ἔκδ. Βόννης. Ἰωάνν. Κιννάμ. ἱστορ. σελ. 176. ἔκδ. Βόννης). Ἡ μὲν τούτους καθελοῦσα Σύνοδος συνεκροτήθη, ὡς ἀνωτέρω εἴρηται, ἐν ἔτει 1156, τὰ δὲ πρακτικὰ αὐτῆς ἐξεδόθησαν ὑπὸ Μαΐου ἐν Spicileg. Roman. tom. X. Ἀπεφήνατο δέ· „καὶ κατ᾿ ἀρχὴν ἐπὶ τοῦ δεσποτικοῦ πάθους τὸν θεάνθρωπον Λόγον τὸ σωτήριον θῦμα προσενεγκεῖν τῷ Πατρί τε καὶ ἑαυτῷ, ὡς Θεῷ, καὶ τῷ Πνεύματι . . . . . καὶ νῦν ὡσαύτως τὰς ἀναιμάκτους θυσίας τῇ παντελείῳ καὶ τελειοποιῷ Τριάδι προσάγεσθαι“*). Τῶν κατακριθέντων δὲ οἱ μὲν ἄλλοι οὐκ ἐξέφερον παρρησίᾳ καὶ διαρρήδην τὰς ἑαυτῶν γνώμας (ὁ δὲ Μιχαὴλ καὶ μετεμελήθη εὐθὺς καὶ λίβελλον μετανοίας μετὰ ταῦτα ἔγραψεν, ὃς σώ-

*) Ἡ Σύνοδος αὕτη ἐξέθετο καὶ τρία κεφάλαια περὶ τῆς ὑποθέσεως ταύτης, ἅτινα κεῖνται ἐν τῷ Συνοδικῷ τῆς πρώτης Κυριακῆς τῆς μεγάλης τεσσαρακοστῆς. ἰδ. Τριῴδιον ἐν τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας.

НБ ОНУ імені І.І. Мечникова

ζεται παρ' Ἀλλατίῳ de perpet. consens. p. 691). Σωτήριχος δὲ ὁ Παντεύγενος διάλογον συνέταξεν *), ἐν ᾧ πολλὰ συνεφόρησεν ἄτοπα, σαφῶς τὰς αἱρετικὰς αὐτοῦ ἐρεσχελίας παραστήσας. Κατὰ τούτων λοιπὸν τῶν τοῦ Σωτηρίχου ἐρεσχελιῶν συνετάχθησαν οἱ δύο οὗτοι λόγοι, οἵτινες αἴρουσι τὴν μέχρι τοῦδε ὑπάρχουσαν ἀμφιβολίαν περὶ τοῦ χρόνου καθ' ὃν ἔζη ὁ ἡμέτερος Νικόλαος**). 7) Ἀντίρρησις πρὸς τὰ γραφέντα περὶ τῆς αὐτῆς ὑποθέσεως παρὰ Σωτηρίχου τοῦ προβληθέντος Πατριάρχου Ἀντιοχείας. 8) Ἀπομνημονεύματα ἐκ τῶν ἐν διαφόροις λόγοις γεγραμμένων κατὰ Λατίνων περὶ τῆς εἰς τὸ ἅγιον Πνεῦμα βλασφημίας. Φίλος τις ᾔτησε παρὰ τοῦ Νικολάου τὸ βιβλίον τὸ περιέχον τοὺς κατὰ Λατίνων λόγους αὐτοῦ· οὗτος δέ, μὴ ἔχων αὐτὸ πρόχειρον, ἐσχεδίασε τὰ Ἀπομνημονεύματα καὶ ἔπεμψε τῷ φίλῳ, ὡς ὁ αὐτὸς ἐν τέλει τοῦ πονήματός φησι. 9) Πρὸς τὸν μέγαν Δομέστικον, ἐρωτήσαντα περὶ τοῦ ἁγίου Πνεύματος, πῶς λέγεται οὐσιωδῶς ἐπιδημῆσαι καὶ ἐνοικῆσαι τοῖς Ἀποστόλοις; καὶ εἰ οὕτως ἦν καὶ ἐν τῷ Χριστῷ, πῶς οὐχὶ καὶ αὐτοὶ χριστοὶ λέγονται; ἤ, εἰ μὴ οὕτως, τίς ἡ διαφορά; 10) Πρὸς τοὺς σκανδαλιζομένους

---

*) Τὸν διάλογον τοῦτον τοῦ Σωτηρίχου ἐξέδωκεν ὁ Tafel, Annae Comnen. supplement. histor. eccles. Graec.

**) Ὁ Cave, Scriptor. ecclesiast. histor. literar. καὶ Oudinus, Commentar. de scriptor. ecclesiast. tom. II. p. 854, χρονοθετοῦσι τὸν Νικόλαον οὐκ ὀρθῶς περὶ τὸ τέλος τῆς ἑνδεκάτης ἑκατονταετηρίδος.

ἐπὶ τοῖς ἀποστολικοῖς ῥητοῖς· „Ὅτε δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι“ *)· καὶ διὰ μὲν τοῦ ὑποταγήσεσθαι λέγειν τῷ Πατρὶ τὸν Υἱόν, οἰομένους ὑποδεέστερον φύσει ποιεῖν αὐτὸν τὸν Υἱὸν τοῦ Πατρὸς κατὰ τὴν αἵρεσιν Ἀρείου· διὰ δὲ τοῦ ἔσεσθαι τὸν Θεὸν τὰ πάντα ἐν πᾶσι, τὴν Ὠριγένους δογματίζειν ἀποκατάστασιν· καὶ πρὸς εὕρεσιν τοῦ ἀποστολικοῦ σκοποῦ, πρὸς ὃν ταῦτά φησιν, ἀνάπτυξις τῶν προειρημένων αὐτῷ περὶ τῆς κοινῆς πάντων νεκρῶν ἀναστάσεως. 11) Πρὸς τὸν ἐρωτήσαντα, εἰ ἔστιν ὅρος ζωῆς καὶ θανάτου· καὶ πῶς, τούτου δοθέντος, οὐκ ἂν εἴη κακῶν αἴτιος ὁ Θεός. Ἐν τῷ λόγῳ τούτῳ λέγει ὁ Νικόλαος τῷ ἐρωτήσαντι· „Καὶ τότε μὲν ἐξ ὑπογυίου τὴν ἐμὴν γνώμην εὐθὺς ἐξεκάλυψα.“ Ταῦτα δὲ τὰ ἐξ ὑπογυίου γραφέντα ἴσως κεῖνταί που λανθάνοντα. 12) Περὶ τοῦ αὐτοῦ λόγος δεύτερος, ἐκ τῶν γραφικῶν μαρτυριῶν τὰ αὐτὰ συνάγων καὶ τὸν τῆς ἀοριστίας πρεσβευτὴν ἐλέγχων μὴ καλῶς τινας αὐτῶν ἐκλαμβάνοντα καὶ τὰς ἐντεῦθεν φυομένας ἀπορίας λύων. 13) Περὶ τοῦ αὐτοῦ λόγος τρίτος, τὴν ἀτοπίαν ἐλέγχων τῆς κατὰ τὴν ἀοριστίαν ὑποθέσεως διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. 14) Περὶ τῆς ἐπὶ τῇ καταστάσει τοῦ Πατριάρχου ἀντιλογίας· καὶ περὶ ἱεραρχίας. Ὁ λόγος οὗτος συνετάχθη διὰ τὴν ἑξῆς αἰτίαν. Ὁ Πατριάρχης Κωνσταντινουπόλεως Κοσμᾶς ὁ Ἀττικός, ἐξ Αἰγί-

*) Κορινθ. Α'. ιε'. 28.

НБ ОНУ імені І.І. Мечникова

νης, ἀνὴρ παρὰ πᾶσιν αἰδέσιμος, καὶ σοφίας ἁπάσης μεταλαχών, καθυποβάλλεται καθαιρέσει ἐν ἔτει 1147, ὡς συναιρετίζων τῷ ὀπαδῷ τῆς αἱρέσεως τῶν Βογομίλων μοναχῷ Νήφωνι*)· ἀντ᾽ αὐτοῦ δ᾽ ἀνάγει εἰς τὸν πατριαρχικὸν θρόνον ὁ βασιλεὺς Μανουὴλ Νικόλαόν τινα Μουζάλωνα, ὃς γεγονὼς χρόνον τινὰ ἀρχιεπίσκοπος Κύπρου, εἶτα, ἑκουσίως ἐκεῖθεν ἀποστὰς ἕνεκα πραγμάτων δυσχερῶν, ἐβίου ἐν τῇ ἐν Κωνσταντινουπόλει Μονῇ τοῦ Κοσμιδίου, ἑπτὰ καὶ τριάκοντα ἔτη ἐν αὐτῇ σχολάζων. „Ἀλλ᾽ ἅμα τε ἐπὶ τῶν πραγμάτων ἐγίνετο καὶ ἅμα πᾶν κατ᾽ αὐτοῦ κεκίνηται στόμα, παρανόμως αὐτὸν ἐπιπηδῆσαι λεγόντων τῷ θρόνῳ, ἅτε ξὺν τῇ λαχούσῃ τοῦτον ἐκκλησίᾳ καὶ την ἱερωσύνην προσαποθέμενον" **). Πρὸς ἀναίρεσιν δὲ τῆς δόξης τῆς ἀντιθέτου φατρίας τοῦ Πατριάρχου Νικολάου συνέταξεν ὁ αὐτῷ ὁμώνυμος τὸν λόγον τοῦτον, ὃς ὅλως ἀντίκειται τοῖς ἔναγχος ὑπὸ τῆς ἐκκλησίας τῆς Ἑλλάδος περὶ τοῦ ἀμεταθέτου τῶν ἐπισκόπων θεσμοθετηθεῖσιν. 15) Πρὸς Λατίνους περὶ ἀζύμων λόγοι δύο. 16) Ἀνεπίγραφον, οὗ ἡ ἀρχή. Αἰχμάλωτοι παρ᾽ αἰχμαλώτῳ. Πάντα τὰ ἀνωτέρω ἀνέκδοτα μέχρι τοῦδε συγγράμματα τοῦ Νικολάου

---

*) Πλείονα περὶ τούτου ἰδὲ παρὰ Νικήτᾳ τῷ Χωνιάτῃ ἱστορ. σελ. 106 ἔκδ. Βόννης. Τὸ δὲ Σημείωμα τῆς καθαιρέσεως ἰδὲ παρ᾽ Ἀλλατίῳ de perpet. consens. p. 683, ἔνθα διορθωτέον ἴσως τὸ ἔτος ͵ϛχνβ' εἰς ͵ϛχνε', διότι κατὰ τοῦτο τὸ ἔτος συμπίπτει ἡ δεκάτη Ἰνδικτιὼν ἡ ἐν τῳ Σημειώματι σημειουμένη.

**) Ἰωάνν. Κίνναμ. σελ. 83 ἔκδ. Βόννης.

НБ ОНУ імені І.І. Мечникова

ἀπόκεινται ἐν τῇ ἐν Μόσχᾳ βιβλιοθήκῃ τῆς ἱερᾶς Συνόδου ὑπ' ἀριθμὸν 208, 353 καὶ 355. 17) *Βίος τοῦ ὁσίου Μελετίου τοῦ ἐν τῷ ὄρει τῆς Μυουπόλεως ἀσκήσαντος.* Ἀπόκειται ἐν τῇ αὐτῇ βιβλιοθήκῃ ὑπ' ἀριθμὸν 160 *). 18) *Κατὰ τῆς ἀρχῆς τοῦ Πάπα.* Τοῦ πονήματος τούτου μνείαν μὲν ποιεῖται ὁ ἀπὸ τῆς πατρῴας θρησκείας δραπετεύσας Νικόλαος Κομνηνὸς Παπαδόπουλος ὁ Κρὴς ἐν praenot. Mystagog. p. 366, ἔνθα πολλὰ κατὰ τῆς ὀρθοδόξου Ἑλληνικῆς ἐκκλησίας ἐφλυάρησεν **)· ἀπόκειται δὲ ἐν ταῖς βιβλιοθήκαις τῶν Μονῶν τοῦ ὄρους Ἄθω. ἰδ. Πηδάλιον Νικοδήμου σελ. 108. 19) *Ἔλεγχοι*

---

*) Ὁ Μελέτιος οὗτος, οὗ τὴν μνήμην ἑορτάζει ἡ ὀρθόδοξος Ἀνατολικὴ ἐκκλησία τῇ α' Σεπτεμβρίου, ἔζη ἐπὶ Ἀλεξίου τοῦ Κομνηνοῦ ἔν τινι Μονῇ ἐπ' ὀνόματι τῶν Ταξιαρχῶν τιμωμένῃ, ἥτις ὕστερον ἐκλήθη τοῦ ἁγίου Μελετίου. Ἡ Μονὴ αὕτη ἐλεηλατήθη ἐπὶ Θεοδώρου τοῦ Κομνηνοῦ, ὡς δηλοῦται ἐκ ποιήματος τοῦ μητροπολίτου Βουλγαρίας Ἰακώβου, σωζομένου ἐν χειρογράφῳ τῆς αὐτοκρατορικῆς βιβλιοθήκης τῆς Βιέννης, οὗ ἡ ἀρχή·

Καὶ πάλιν ἐθνῶν ἀλλογλώσσων φατρίαι
εἰσήλθοσαν φεῦ! πρὸς Θεοῦ κληρουχίαν.

**) Πρὸς τὸν ἀπὸ τῆς ὀρθοδοξίας ἀποστατήσαντα καὶ εἰς τὰς Λατινικὰς παρεμβολὰς μεταβάντα καὶ τὰς Λατινικὰς καινοτομίας προασπίσαντα Κρῆτα τοῦτον, γεννηθέντα μὲν ἐν ἔτει 1655, ἀποθανόντα δὲ ἐν ἔτει 1740, ἔγραψεν ἐπιστολὴν ἐν ἔτει 1702 ὁ Ἄγγλος Ἰωάννης Ὄκστων τῇ ἑξῆς ἐπιγραφῇ. Corruptori Graeciae, Ministro Satanae, Cretensi mendacissimo, Patavino Doctorculo vilissimo, hosti totius religionis Nicolao Comneno Papadopoli nuncupato, fidei verae cognitionem precatur à Deo Joannes Hockston. Ἰδὲ περι τὸ τέλος Gennadii patr. Constant. homil. de sacram. Paris. 1709.

НБ ОНУ імені І.І. Мечникова

κεφαλαιώδεις τοῦ παρὰ Λατίνοις καινοφανοῦς δόγματος, τοῦ ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ προέρχεται, συνοψισθέντες ἐκ τῶν διὰ πλάτους τῷ ἁγιωτάτῳ Φωτίῳ ἐν διαφόροις λόγοις αὐτοῦ γεγραμμένων. Ἀπόκειται ἐν τῇ βιβλιοθήκῃ τοῦ Μονάχου ὑπ' ἀριθμὸν 66. 20) Περὶ τοῦ ἁγίου Πνεύματος βιβλίον δεύτερον*). 21) Σύνταγμα περὶ θείας κοινωνίας, ἐν ᾧ καὶ ἀπόδειξις ἁπλῶς ἐκ τῶν θείων Γραφῶν, ὅτι ἔνζυμος ἄρτος τῇ ἐκκλησίᾳ παρεδόθη παρὰ τῶν Ἀποστόλων προσφέρεσθαι, ὡς καὶ μέχρι τοῦ ἁγίου Γρηγορίου τοῦ Διαλόγου τῇ Ῥώμης προσεφέρετο ἐκκλησίᾳ. Γράφει δὲ καὶ τὴν περὶ τούτου ἐν Κωνσταντινουπόλει γενομένην διάλεξιν, καὶ πῶς ἀντιπεῖν οὐκ ἠβουλήθησαν οἱ Λατῖνοι, ἀλλὰ καὶ μᾶλλον ἐπήνεσαν τὸν θεῖον ἄρτον τὸν ἔνζυμον κτλ. 22) Σύνταγμα περὶ τῆς τῶν Λατίνων ἐν σαββάτῳ νηστείας καὶ περὶ τοῦ ὅτι οὐ δεῖ ἐν τεσσαρακοστῇ τελείαν γενέσθαι μυσταγωγίαν, ὡς ἐκ τῶν θείων κανόνων ἐστὶν ἀπόδειξις· ἔτι περὶ τῶν γάμων [τῶν] ἱερέων. Τὰ τρία ταῦτα συγγράμματα ἀπόκεινται ἐν τῇ βιβλιοθήκῃ τοῦ Μονάχου ὑπ' ἀριθμὸν 65, καὶ ἐν τῇ ἐν Φλωρεντίᾳ Λαυρεντινῇ Plut. 9. cod. 12. Νομίζω δ' ὅτι ἐκ τῶν τριῶν τούτων πονημάτων τὰ δύο Συντάγματα

---

*) Ἐν τῷ ὑπ' ἀριθμὸν 65 χειρογράφῳ τῆς ἐν Μονάχῳ βιβλιοθήκης, ἔνθα τὸ σύγγραμμα ἀπόκειται, προσγέγραπται Λατινικὴ μετάφρασις αὐτοῦ. Ἰδ. Aretin, Beiträge zur Geschichte und Literatur. 1804. φυλλάδ. γ΄. σελ. 16.

Нбониймени І.Менщикова

οὐκ ἀνήκουσι τῷ ἡμετέρῳ Νικολάῳ διὰ τοὺς ἑξῆς λόγους. Πρῶτον ἡ φράσις αὐτῶν ἐστὶ ταπεινοτέρα τῶν λοιπῶν συγγραμμάτων αὐτοῦ· δεύτερον ὁ συγγραφεὺς τοῦ πρώτου συντάγματος ἄρχεται τῶν αὐτοῦ ἀποδείξεων ἐκ μαρτυριῶν τοῦ Πάπα Γρηγορίου, τοῦ ὑφ' ἡμῶν μὲν Διαλόγου, Μεγάλου δὲ ὑπὸ τῶν Λατίνων ἐπωνυμουμένου, ὅπερ δηλοῖ, νομίζω, ὅτι ὁ συγγραφεὺς ἦν Ἰταλὸς τὸ γένος· τρίτον ὁ συγγραφεὺς τούτου ἦν εἰδήμων τῆς Λατινικῆς γλώσσης, καὶ τέταρτον ὁ συγγραφεὺς τούτων, τοῦ πρώτου τοὐλάχιστον, ἔζη ὅτε ἐν Ῥώμῃ Πάπας ἦν Ἰννοκέντιος ὁ τρίτος *), ὡς δηλοῦται ἐκ τοῦ ἑξῆς τεμαχίου τοῦ πρώτου συντάγματος. „Οἱ γὰρ λόγῳ καὶ εὐσεβείᾳ κεκοσμημένοι οὐ τολμηρῶς τὸν λόγον ἢ τὴν γλῶτταν κατὰ τῶν τοιούτων μυστηρίων ὁπλίσαι ἄν ποτ' ἠνέσχοντο· ὥσπερ καὶ ὁ ῥηθεὶς Κύριος Βενέδικτος, ὃς τοῦ Πάπα Ῥώμης Ἰννοκεντίου τοῦ τρίτου τοποτηρητὴς ὢν ποτε καὶ ἐν Κωνσταντινουπόλει σταλεὶς διά τινων πραγμάτων τῶν ἀναμεταξὺ Γραικῶν καὶ Λατίνων ἐν τῇ ἐκκλησίᾳ εἰσφρησάντων, οἷς καὶ συνέβη περί τε ἐνζύμου καὶ ἀζύμου ἄρτου λόγος γενέσθαι, οὗπερ ἐγὼ ἑρμηνεύς, ὡς ἔφθην εἰπών, ἐχρημάτιζον“ (χειρόγραφον Μονάχου σελ. 404). Τὰ συντάγματα ταῦτα ἀποδοτέα μᾶλλον Νικολάῳ

*) Ὁ Ἰννοκέντιος ἐπάπευσεν ἀπὸ τοῦ ἔτους 1198—1216. Οὗτος ἐστὶν ὁ τὰ πρῶτα θεμέλια θέσας τοῦ φρικτοῦ δικαστηρίου τῆς ἱερᾶς ἐξετάσεως (sacr. inquisitio), ὅπερ τοσαῦτα ἀνθρώπινα αἵματα ἔχυσεν, ὅσα οὐδέποτε πάντες οἱ τὴν ἐκκλησίαν διώξαντες τύραννοι.

ΗΒΟΗΥ ΙΜΕΗ Ι.Ι. Μελιηκοεα

Ὑδροῦντος, οὗ καὶ τὸ ὄνομα ἔν τισι χειρογράφοις ἐπιγεγραμμένον ἔχουσι· διότι οὗτος καὶ κατ' ἐκεῖνον τὸν καιρὸν ἔζη καὶ εἰδήμων τῆς Λατινικῆς γλώσσης ἦν, κάτοικος ὢν τῆς Ἰταλικῆς πόλεως Ὑδροῦντος. Τὸ δ' ἐν τῇ αὐτοκρατορικῇ βιβλιοθήκῃ τῆς Βιέννης ἐπ' ὀνόματι τοῦ Νικολάου σωζόμενον πόνημα, ὅπερ ὁ Καβέος*), ὁ δύο ἀποδεχόμενος Νικολάους ἐπισκόπους Μεθώνης, ἀποδίδωσι Νικολάῳ τῆς ἐν Μακεδονίᾳ Μεθώνης, ἐστὶ μέρος τῆς ἐγκυκλίου ἐπιστολῆς τοῦ Πατριάρχου Κωνσταντινουπόλεως Φωτίου.

Ὁ τοῖς πᾶσι γνωστὸς Σιμωνίδης, ἐκδοὺς ἔναγχος τὸν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος λόγον τοῦ Νικολάου, μνείαν ποιεῖται καὶ τῶν ἑξῆς συγγραμμάτων αὐτοῦ. α') Κατὰ παραβατῶν τοῦ θείου νόμου. β') Περὶ ἁγίας Τριάδος βιβλία τρία. γ') Συζητήσεις περὶ θεολογικῶν θεσμῶν τοῦ Πλατωνικοῦ φιλοσόφου Πρόκλου βιβλία ἕξ. δ') Περὶ χρεῶν ἱερέως. ε') Περὶ αἱρέσεων βιβλία ἑπτά. ϛ') Περὶ ἐξομολογήσεως. ζ') Περὶ τῶν ἑπτὰ μυστηρίων. η') Περὶ χρεῶν τοῦ ἀνθρώπου. θ') Περὶ εὐσεβείας. ι') Περὶ μετανοίας. ια') Περὶ τῶν ἑπτὰ ἁγίων οἰκουμενικῶν Συνόδων. ιβ') Περὶ προσευχῆς. ιγ') Περὶ Λατινικῆς ματαιοφροσύνης. ιδ') Πανηγυρικοὺς λόγους τρεῖς καὶ τριάκοντα. Ἀλλ', ἂν ταῦτα αὐτὸς εἶδεν ἐν ταῖς βιβλιοθήκαις τῶν Μονῶν τοῦ ὄρους Ἄθω, ἢ εὗρε

---

*) Cave, Scriptor. ecclesiast. histor. literar.

μόνον μνημονευόμενα ὑπὸ τοῦ ἱερομονάχου Στεφάνου τοῦ Ἀθηναίου, οὐκ ἔχω εἰπεῖν. Ἅλις νῦν ταῦτα περὶ τῶν συγγραμμάτων τοῦ Νικολάου.

Αἱ μὲν ἑκασταχοῦ ἐν τῷ κειμένῳ τῶν νῦν ἐκδιδομένων λόγων γενόμεναι ἀλλοιώσεις ὑπεδείχθησαν ἐν τοῖς ὑπὸ τὸ κείμενον σημειωθεῖσιν, αἱ δὲ πλεῖσται ἀνορθογραφίαι (ἔτυχε γὰρ τὸ χειρόγραφον ἐν πολλοῖς ἀνορθόγραφον) καὶ μὴ ὀρθαὶ στίξεις, ἐκ τῆς ἀβλεψίας τοῦ ἀντιγραφέως προελθοῦσαι, διωρθώθησαν μέν, ἐκρίθη δὲ περιττὴ καὶ ἡ τούτων ὑπόδειξις, ἵνα μὴ ἡ ἀνάγνωσις ἀηδὴς γίνηται διὰ τῶν συνεχῶν σημειώσεων τῶν ἐσφαλμένων, καὶ ἵνα μὴ δαπανῶμεν εἰκῇ τὰ ἐσφαλμένα τυποῦντες, ὡς ποιοῦσί τινες σφόδρα ἀκριβεῖς.

Ἐν Λειψίᾳ τῇ 30 Νοεμβρίου 1864.

Ἀνδρόνικος Κ. Δημητρακόπουλος,

ἱερεὺς τῶν ἐν Λειψίᾳ παροικούντων Ἑλλήνων.

НБ ОНУ імені І.І. Мечникова

*Νικολάου Ἐπισκόπου Μεθώνης πρὸς τὸν μέγιστον βασιλέα, τὸν ἄριστον ἀριστέα, τὸν κράτιστον Αὐτοκράτορα, τὸν Κομνηνὸν Κύριον Μανουὴλ τὸν πορφυρογέννητον· μετὰ τὴν ἐν Κωνσταντινουπόλει συγκροτηθεῖσαν κελεύσει αὐτοῦ νέαν Σύνοδον κατὰ τῆς ἀρτιφανοῦς αἱρέσεως τῶν λεγόντων τὴν σωτήριον ὑπὲρ ἡμῶν θυσίαν μὴ τῇ τρισυποστάτῳ θεότητι προσαχθῆναι, ἀλλὰ τῷ πατρὶ μόνῳ· καὶ διαιρούντων μὲν οὕτω τὴν μίαν θεότητα, μεμφομένων δὲ ὡς αἱρετικοὺς καὶ Νεστοριανοὺς ἀποκαλούντων τοὺς λέγοντας τὸν Χριστὸν καὶ ἑαυτῷ ταύτην τὴν θυσίαν προσενεγκεῖν, καὶ μετὰ τὰ ἐπὶ ταύτῃ τῇ Συνόδῳ βασιλικὰ κατὰ τὴν Ἀνατολὴν τρόπαια ἐπινίκιος· ἐν ᾧ καὶ ἀντίρρησις συνοπτικωτέρα πρὸς τὰ γραφέντα τῷ τῆς αἱρέσεως ἐξάρχῳ.*

Μεθώνη πόλις (ἀλλ᾽ ἀποκόπτει μοι τὸ συμπλήρωμα τῆς προτάσεως ἡ παντελὴς τοῦ ψεύδους παραίτησις. Ἦν γὰρ ὅτε πόλις ἦν· νῦν δέ ἐστιν ἐρημόπολις· ἐρήμη πολιτῶν, ἐρήμη τειχῶν καὶ τῆς ἀπὸ τειχῶν ἀσφαλείας· λεγέσθω δ᾽ ὅμως καὶ οὕτω πόλις ἐλπίδι τοῦ πάλιν τοῦτο γενήσεσθαι διὰ τῆς ἐν Χριστῷ πάντα δυναμένης καὶ ἐνεργούσης αὐτο-



НБ ОНУ імені І.І. Мечникова

κρατορικῆς δεξιᾶς) πόλις τὸ σχῆμα, τρίγωνος τὴν θέσιν, τὰς περὶ τὴν κορυφαίαν γωνίαν πλευρὰς ἀμφιθάλασσος *), ὡς μόνον τὴν διατείνουσαν πρὸς ἤπειρον ἐπανοίγουσα· ἤπειρον τὴν αὐτὴν καὶ νῆσον, ἥτις ἀπὸ τοῦ πρώτου οἰκήτορος Πελοπόννησος προσηγόρευται· μέρος αὕτη τῶν φερωνύμως λεγομένων κατωτικῶν τὸ κατώτερον, πρὸς δύσιν νοτιωτέρου κλίματος ἀποκλῖνον, καὶ ταύτης ἄκρον ἔσχατον ἡ Μεθώνη, ἣν ἐγὼ δυστυχῶς οἰκεῖν κατεκρίθην μετὰ τῶν προφητικῶς προηγορευμένων, εἰσελεύσεται εἰς τὰ κατώτατα τῆς γῆς **). Ἐκ δὴ ταύτης τῆς ἄκρας ἐσχατιᾶς ἥκω σοι πάλιν, ὦ θειότατε βασιλεῦ, γέρων μὲν, ἀλλὰ νεάζων τῇ προθυμίᾳ· καὶ ταλαίπωρος μὲν καὶ κατεψυγμένος, ἀλλὰ γενναῖος καὶ ἀνδρικὸς καὶ θερμὸς τῷ ζήλῳ τῆς πίστεως· καὶ πενέστατος μὲν, εἰ καί τις ἄλλος, ἀλλὰ καὶ δωροφόρος ὑπ' εὐγνωμοσύνης φιλοτιμότατος, δῶρον φέρων τὸ πάντων τῶν ἐκ Θεοῦ δεδομένων ἡμῖν κάλλιστόν τε καὶ μέγιστον, λόγον, τρίτον ἤδη τοῦτον· ὡς ἂν σοι διὰ τριῶν οἵων δή τινων λίθων Δαυϊτικῶν τὰ κατὰ τῆς ἐκκλησίας ἐπανιστάμενα ἀλλόφυλα δόγματα σφενδονίζοιντο· σὸν καὶ τοῦτο θαῦμα τὸ καὶ γέροντας ἀνανεοῦν, καὶ ἀσθενεῖς ἐνισχύειν, καὶ πένητας ἀποφαίνειν ὀλβιοδώρους, καὶ ἁπαξαπλῶς τοὺς ὁπωσοῦν κεκα-

---

*) χειρόγ. πόλις τὸ σχῆμα τρίγωνος· τὴν θέσιν· τὰς περὶ τὴν κορυφαίαν κτλ.

**) ψαλμ. ξβ'. 9.

κωμένους ἀντιπεριάγειν ἐπὶ τὸ βέλτιον· τῶν μὲν οἰκείων ἐπιλανθανομένους κακῶν, πρὸς δὲ τὸ μέγεθος τῶν ὑπερφυῶν σου κατορθωμάτων ἐπιστρεφομένους καὶ τούτοις συνεπαίρεσθαι φιλοτιμουμένους· οὕτως ἐγὼ τὸν ἑσμὸν τῶν ἐμῶν κακῶν καταvωτισάμενος, ἐφ' οἷς στυγνάζειν καὶ σκυθρωπάζειν καὶ πενθεῖν ὤφειλον, ὑπὸ τῶν σῶν μεγαλλουργημάτων εἰς τὸ ταῦτα θαυμάζειν ἀνθέλκομαι καὶ συμμίσγω τοῖς ἑορτάζουσι καὶ ὅλος ὑφ' ἡδονῆς ἔνθους γίνομαι. Ἥκω τοιγαροῦν οὐ πολέμου καὶ μάχης ὑστερίζειν χρῆναι νομίζων κατα τὸν ἐν Γοργίᾳ τοῦ Πλάτωνος Πῶλον, ἀλλ' εἰ καὶ πολὺ τοῦ καιροῦ καὶ τῆς κατ' ἐκεῖνον χρείας, ἀλλ' οὐχὶ καὶ τῆς ἐπινικίου ἑορτῆς καὶ τῶν κατ' αὐτὴν ἱερῶν χορῶν καὶ ᾀσμάτων πάμπαν κατόπιν. Ἔδει γὰρ ἔδει τοὺς φιλοθέους ἀγωνιστὰς, τοὺς ὑπερμάχους τῆς εὐσεβείας, τοὺς πρὸ μικροῦ συνεληλυθότας κατὰ συνέλευσιν· θαρρούντως δὲ λέγω καὶ θείαν, ὅτι καὶ Θεὸς ὁ ἀεὶ τὴν σην καρδίαν ἐν χειρὶ φέρων τῇ ἑαυτοῦ καὶ δὴ τότε πρὸς τοῦτο κινήσας σε· τοὺς καὶ τὴν αὐτίκα κινηθεῖσαν καινοτομίαν κατὰ τῆς ὀρθῆς πίστεως καταστρέψαντας, μὴ μόνον αὐτοὺς ζηλώσαντας ἐζηλωκέναι Κυρίῳ, καὶ μόνους αὐτοὺς τὸν κατ' ἐκείνης τῆς δυσφημίας ἀγῶνα διαγωνίσασθαι, ἀλλὰ καὶ ἄλλους προτρέψασθαι· μηδὲ μόνον πρὸς τὸ παρὸν ἀπιδεῖν, ἀλλα καὶ τοῦ μέλλοντος προνοήσασθαι, ἵν' ἔχοιεν οἱ μετ' ἔπειτα διηγεῖσθαι πρὸς ζῆλον ἔνθεον ἔργον, ὃ εἰργάσατο Κύριος ἐν ἡμέραις ταύταις ταῖς πρὸς

ἐκείνους ἀρχαίαις· προτροπὴ δὲ τοῦ καλοῦ καὶ τοῦ μέλλοντος πρόνοια καὶ ἀσφάλεια οἱ τῶν κατορθούντων ἔπαινοί τε καὶ στέφανοι· ὧν γὰρ τοὺς ἐπαίνους, τούτων εἶναι καὶ τὰς ἐπιδόσεις φησὶν ὁ Θεολόγος Γρηγόριος· ὥσπερ ἄρα καὶ τοὐναντίον ἀποτροπὴ τοῦ κακοῦ οἱ τῶν σφαλόντων ψόγοι καὶ ἔλεγχοι· ἅπερ ἄμφω τῶν ἄλλων πάντων ἐμέλησε, τῷ πάντων ἐν πᾶσι προέχοντι βίῳ τε καὶ λόγῳ καὶ ἀξιώματι· ὃν πρὸ τοῦδε τὸ κενὸν δοξάριον φεύγοντα καὶ διὰ τοῦτο λανθάνειν σπεύδοντα καὶ οὕτω κρυπτόμενον, Θεῷ δὲ μόνῳ τῷ τὰ κρυπτὰ βλέποντι φανερούμενον, αὐτὸς ἐξήτασάς τε θεοκινήτως καὶ εὗρες θεοδηγήτως καὶ εὑρὼν οὐκέτι κρύπτεσθαι παρεχώρησας ὑπὸ μόδιον, ἀλλ' ἐπὶ τὴν οἰκουμενικὴν λυχνίαν, τὴν ὑπερκαθημένην ἁπασῶν ἐκκλησίαν ἀναγαγὼν τέθεικας, ἵνα τὸ ἐν αὐτῷ καιόμενον φῶς τηλαυγῶς πᾶσι διαλάμπῃ τοῖς ἐν τῇ οἰκίᾳ, τῷ παντὶ κόσμῳ*). Καὶ οὗτος μὲν οὖν ὁ καθηγητής, οὐχ ἥκιστα δὲ καὶ οἱ τούτου σύμφρονες ὀπαδοί, ἀξιέπαινοι καὶ ἀξιογέραστοι πάντες, ὅσοι τὴν εἰρημένην Σύνοδον συνεκρότησαν ὡς καλοὶ τῷ ὄντι ποιμένες καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μιμηταί, ὡς τῆς θείας μάνδρας τῆς ἐκκλησίας καὶ τῶν ἐν αὐτῇ λογικῶν θρεμμάτων ἄγρυπνοι φύλακες καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτός, τῆς τὴν νοητὴν ἡμέραν διακοπτούσης, ἣν ὁ τῆς δικαιο-

*) ὑπαινίττεται τὸν τηνικαῦτα Πατριάρχην Κωνσταντινουπόλεως Κωνσταντῖνον τὸν Χλιαρηνόν, ἀποθανόντα ἐν ἔτει 1156.

НБ ОНУ імені І.І. Мечникова

σύνης ἥλιος αἰθριάζει, τῆς σκοτεινῆς καὶ ἀθέου κακοπιστίας, εἴτουν αἱρετικῆς ἐρεσχελίας καὶ δυσφημίας καὶ τῆς ἄλλης κακίας· καὶ ἐν ταῖς τοιαύταις αὐτῶν φυλακαῖς ἀγραυλοῦντες μέλος εὐσεβείας τὸ παναρμόνιον, ὅπερ ἡ ἐκ τῶν ἑπτὰ διὰ πασῶν, μουσικῶς εἰπεῖν, συγκεκροτημένη θεόφθογγος λύρα, τῶν ἑπτὰ δηλαδὴ μεγάλων Συνόδων ἡ σύμφωνος ὁμολογία τῆς πίστεως ἡμῶν, ὑπηχεῖ· οὓς οὕτως ἀγρυπνοῦντας, οὕτω φυλάσσοντας οὐκ ἔλαθεν ὁ μὴ διὰ τῆς θύρας, ἀλλ' ἄλλοθεν εἰσπηδῶν καὶ ἀναβαίνων εἰς τὴν αὐλὴν τῶν προβάτων κλέπτης ἢ λῃστὴς ἢ λύκος, ἵνα πάντως κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ, ἀλλὰ φωραθεὶς ἀπεβουκολήθη καὶ ἀπηλάθη καὶ ἀπεκηρύχθη, καθὼς ἦν ἄξιον· σὺ δὲ πόσων ἂν εἴης ἐπαίνων, πόσων στεφάνων καὶ τῶν ἐπὶ τούτοις θεάτρων καὶ πανηγύρεων ἄξιος*) καὶ συγκροτήσας τὸν λογικὸν τοῦτον πόλεμον καὶ καθοπλίσας τοὺς μαχητὰς καὶ συμμαχήσας καὶ ὑπὲρ πάντας ἀριστεύσας καὶ μετὰ Χριστοῦ νικήσας, τοῦ τὸν κόσμον ἀεὶ νικῶντος, καὶ τὴν νίκην κυρώσας καὶ βεβαιώσας, πάντως μὲν καὶ βασιλικοῖς γράμμασιν, ὅπερ ἔθος ἐπὶ ταῖς Συνόδοις ἐκράτησε, βεβαιότερον δὲ τοῖς πράγμασιν, οἷς αὐτὸν παριστὰς τὸν σὸν ἀγωνοθέτην τε καὶ βραβειοδότην, τῆς συμμαχίας καὶ νίκης ἐκείνης ἐπάξια τὰ παρόντα σοι γέρα βραβεύοντα, τὰς ἀνδραγαθίας, τὰς ἀριστείας, τὰς νίκας, τὰ τρόπαια, ὧν καὶ

*) ἐνταῦθα, νομίζω, λείπει τι.

μόνον ἓν ἀξίως εἰπεῖν ἐργωδέστατον, ἔγω γε οἶμαι, κἂν εἰς ταυτὸ πᾶσαι γλῶσσαι ῥητόρων συνέλθοιεν· ἐφ᾽ οἷς καὶ ἡμεῖς ἑορτάζειν τὰ ἐπινίκια βουλόμεθα μέν, πάντῃ δὲ τῆς ἀξίας λειπόμενοι παραιτούμεθα. Ἵνα γὰρ ἐν τῷ παρόντι παρῶ τὰ πάλαι πανταχόσε κατορθωμένα σοι· ἔδει γὰρ πάντα σε τὸν κύκλον τῆς οἰκουμένης ἐν τούτοις περιλαβεῖν, τὰ πρὸς ἕω, πρὸς βορράν, πρὸς δύσιν, πρὸς θάλασσαν· οἷον γὰρ καὶ τὸ καθ᾽ αὐτὴν τὴν θάλασσαν· Χριστοῦ μὲν μόνου πάντως τὸ ταύτην ἐπιτιμᾶν ἀγριαίνουσαν, καὶ σιώπα, πεφίμωσο λέγειν καὶ ἔχειν εὐήκοον· νῦν δὲ καὶ τοῦτο σόν· ταύτην γὰρ πρὸ τοῦδε δεινῶς ἐπεγειρομένην, καὶ μικρὸν ὅσον καταποντίζειν ὡς πλοῖον τὴν καθ᾽ ἡμᾶς νῆσον αὔτανδρον ἀπειλοῦσα, ὡς πάλαι τὸ φέρον τοὺς μαθητάς, οἰκονομικῶς ὑπνοῦντος τοῦ τὸ σώζειν ἔχοντος κυβερνήτου καὶ διδασκάλου, καὶ αὐτὸς θεομιμήτως ὡς ἐνῆν κατεστόρεσας, τὴν ἐν ἄλλοις πολλοῖς οὖσι κἀκείνοις καὶ σφόδρα κατεπείγουσιν ἀσχολίαν, πρὸς δὲ πρόνοιαν τῆς θαλάσσης, ὡς εἰκός, δοκοῦσαν ἀργίαν ὥσπερ ὕπνον ἐκτειναξάμενος καὶ ἠρεμίαν ἐγκελευσάμενος ταύτῃ τε καὶ τῷ ταύτην ἡμῖν ἐκταράσσοντι τυφονικῷ πνεύματι, καὶ εἰς γαληναίαν αὖραν μεταστησάμενος· καὶ τοῦτο δ᾽ οὖν ὅμως, καίτοι τοιοῦτον ὂν*), ἐάσθω· ἀλλὰ τὰ χθές που καὶ πρότριτα πρὸς ἀνίσχοντα πάλιν ἥλιον, [ὅπερ]**),

*) ἐν τῷ χειρογράφῳ „καίτοι τὸ τουτον ὄν“.

**) ἴσως πλεονάζει.

ἀθρόον ἐπιφανεὶς ὡς ἄλλος τις ἥλιος, νῦν μὲν Κίλιξι, νῦν δὲ τοῖς κατ' Ἀντιόχειαν Σύροις, τὸ τηνικαῦτα κρατοῦν ἐν ἑκατέροις νυκτῶδες σκότος τῆς τυραννίδος ἀπήλασας τῇ ἐπιλάμψει τῶν ἡμεροφαῶν καὶ θεολαμπῶν ἀκτίνων σου· ἤδη δὲ καὶ τῶν Περσικῶν ὁρίων ἱκανὴν μοῖραν ἐπιπολεύσας κατηύγασας· ἔτι δὲ καὶ τὰ νῦν αὖθις πρὸς ἕω κατειργασμένα σοι κατὰ τῶν δυσεβεστάτων Ἰσμαηλιτῶν, τῶν τέως μὲν ὑποσπόνδων τῷ κράτει σου, ἐπὶ κακῷ δὲ τῆς ἑαυτῶν κεφαλῆς πτέρναν ἀράντων καὶ παρασπονδησάντων καὶ τὴν σὴν πρὸς ἡμᾶς ἀνάζευξιν ἐπιτηρησάντων· οὕτω τε λάθρα τῇ οὐραγίᾳ τοῦ περιλειφθέντος ἐκεῖ στρατεύματος ἐπιστρατευσάντων· τὴν εὐβουλίαν, καθ' ἣν ἀδοκήτως αὐτοῖς ἐπέστης, τὴν εὐτολμίαν, τὴν ἀνδρίαν, καθ' ἃς μόνος αὐτὸς προεκδραμὼν τοῦ στρατεύματος, εἷς ἐδίωξας χιλίους κατὰ τὸ λόγιον, καὶ συρραγεὶς τοῖς τοσούτοις τοὺς μὲν ἀνεῖλες, τοὺς δὲ συνέσχες, τοὺς δὲ φυγάδας ἢ καὶ τραυματίας ἀφῆκας οἴχεσθαι· τά τε τῆς ὅλης τηνικαῦτα στρατιᾶς, ὅσα καὶ μόνον ἀπαριθμῆσαι μακροτέρου δέοιτ' ἂν λόγου· καὶ ὡς οὐ μόνον ὑποσπόνδους ἐντεῦθεν ἔσχες τοὺς ἁπανταχῇ τῆς ἑῴας ἡγεμονεύοντας, ἀλλὰ καὶ πάντα δουλείας ζυγὸν τυραννικὸν καὶ ἀλλότριον εἰς τέλος συνέτριψας, καὶ πᾶσαν ἐν βραχεῖ τὴν ἀρχαίαν Ῥωμαίων ἀρχὴν ἐπὶ πλεῖστον ὅσον διασκεδασθεῖσαν καὶ μερισθεῖσαν ὑφ' ἓν συνῆψας καὶ ἀνεκτήσω. Ταῦτα τίνος ἄν τις ἄλλης εἰ μὴ θείας θείη δυνάμεως ἔργα,

НБ ОНУ імені І.І.Мечникова

γέρα σοι τῆς περὶ αὐτὴν εὐσεβείας ἀποδιδούσης ἀντάξια; ὅτι τοι πολλῶν ὄντων καὶ ἀναγκαίων πάντων, ἃ τηνικαῦτα κατήπειγον καὶ τὴν βασίλειον ἀντέσπον πρὸς ἑαυτὰ πρόνοιαν· ὁπηνίκα καὶ τοῦ τῆς ἐκκλσίας μέρος τι διασπασθὲν τῆς ὁλότητος πρὸς τὸ λοιπὸν ἐστασίαζεν· αὐτὸς, τἄλλα πάντα δευτέρας φροντίδος ἄξια κρίνας, προηγουμένης σπουδῆς ἠξίωσας τὴν τῆς ἐκκλησίας κατάστασιν, καὶ τοῖς ὑγιαίνουσι ταύτης προσθέμενος μέλεσι, τὸ σεσηπὸς ἤδη καὶ κακοπιστίας ἀπόζον αἱρετικῆς καὶ τὴν αὐτοῦ θεραπείαν ἀπαγορεῦον, ὡς σοφὸς ἰατρὸς ἀπέκοψας καὶ ἀπέρριψας, προμηθείᾳ τοῦ μὴ φθάσαι τὴν σῆψιν ἐπινεμηθῆναί τι καὶ τοῦ ὑγιαίνοντος· ταύτην αὐτὸς ὑποβάθραν τῆς ὅλης ἀνδραγαθίας ὑποστησάμενος, ταύτῃ καὶ τοὺς χρυσοῦς ἐκείνους κίονας τῶν τροπαίων ἐπέστησας, ἐφ᾽ ὧν τὴν ἀρχὴν τῆς ὅλης ἑῴας ὠρόφωσας· ἣν ὁ Θεὸς ἀμοιβήν σοι τῆς πρὸς αὐτὸν εὐσεβείας, ὡς ἔφην, ἐβράβευσε καὶ ἔτι βραβεύσειε, θαρρούντως προλέγω, τὴν περὶ τῶν μελλόντων πίστιν ἐκ τῶν προλαβόντων ἀσφαλῶς βεβαιούμενος, τὴν τῆς ὅλης οἰκουμένης κατάσχεσιν· ἐπειδὰν καὶ τὴν λείπουσαν ἔτι καὶ παρὰ σοῦ συστηθῆναι προορισθεῖσαν οἰκουμενικὴν Σύνοδον ἀθροίσῃς καὶ τὴν μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν εἰς πολλὰς ἄρτι κατατομὰς μερισθεῖσαν πρὸς ἑαυτὴν ἐπαναγάγῃς καὶ μίαν ὄντως αὖθις ἀποτελέσῃς. Ὅσον γὰρ ἡ διάστασις κακὸν, τοσοῦτον ἡ ἕνωσις ἀγαθόν. Ἡ μὲν γάρ ἐστι σκεδασμὸς καὶ εἰς τὸ μὴ

ὃν ἀναχώρησις, ἡ δὲ σωτηρία καὶ πρὸς τὸ οἰκεῖον εἶναι ἐπάνοδος· καὶ δεῖ τὸν προεστῶτα τῶν ὅλων ὡς μάλιστα προνοεῖσθαι τῆς τῶν ὅλων ἑνώσεως· εἴ γε μέλον αὐτῷ κραταιοτάτην ἀποφαίνειν τῇ μοναρχίᾳ τὴν προστασίαν, καὶ πρῶτόν γε τῆς κατὰ τὴν ὀρθὴν πίστιν ἑνώσεως, ἥτις ἐστὶ βασιλεία Θεοῦ, ᾗ καὶ τὰ χρηστὰ *) πάντα προστίθενται κατὰ τὴν θείαν ὑπόσχεσιν· Ζητεῖτε γάρ, φησι, πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν **)· ἀλλὰ ταῦτα μὲν ὕστερον· καὶ βεβαιούτω μοι τὸν λόγον ἡ πίστις, ᾗ πάντα δύναται. Πάντα γάρ φησι δυνατὰ τῷ πιστεύοντι ***). Τὸ δὲ νῦν ἐπειδὴ καὶ μεθέορτα πανηγυρίζειν ὁ καθ' ἡμᾶς νόμος δίδωσι, καὶ ὁ λόγος, εἰ καὶ τοῦ καιροῦ δεύτερος, ἀπαντᾷ πρὸς τὴν Σύνοδον, ἀλλ' οὔ τί γε καὶ τῆς ἑορτῆς ἀπολείπεσθαι πάμπαν ἀνέχεται· ἀλλ' ἥκει πόῤῥωθεν παρεσκευασμένος συγχορεῦσαι τοῖς τὰ συνόδια ἑορτάζουσι καὶ ὑμνῆσαι τὰ ἐπινίκια. Δεῖ δὲ πρὸ τῶν ἐπινικίων τὴν νίκην καὶ πρὸ τῆς νίκης τοὺς ἀγῶνας ὑπομνησθῆναι· τοῦτο γὰρ ἑορτή, τῶν ἑορταζομένων ὑπόμνησις· φέρε δή, φέρε καὶ νῦν ὁ λόγος τῶν τῇ Συνόδῳ πεπραγμένων ὡς ἐνὶ συνοπτικῶς ὑπομνησθήτω. Εἰ δέ γε δοκεῖ διὰ τὸ εὐσύνοπτον, καὶ τὸ τοῦ ὀρθοδόξου πρόσωπον ὑποδὺς καὶ καθεὶς

*) χειρ. τὴν χρηστήν.

**) Ματθ. ϛ'. 33.

***) Μαρκ. θ'. 23.

НБ ОНУ імені І.І. Мечникова

ἑαυτὸν εἰς τὸ στάδιον, ἀγωνιστικώτερον ἀντεπεξίτω τῷ λόγῳ τοῦ ἀντιθέτου· ἐπεὶ καὶ λογογραφῆσαι καὶ στηλιτεῦσαι τὴν ἑαυτοῦ πλάνην, ὅς τίς ποτε οὗτος, κατατετόλμηκε, καὶ*) δεῖ δὴ κἀνταῦθα λόγῳ λόγον ἀντιμαχέσασθαι· καὶ ὁ μὲν ἀγὼν θεατριζέσθω, σὺ δὲ προκαθέζου βασιλικῶς σὺν παρέδρῳ τῇ ἀληθείᾳ, τὸ λογικὸν τοῦτο θέατρον συγκροτῶν, καὶ ἀρρεπῶς ἀγωνοθέτει κατὰ τὸ σύνηθες· καὶ ἄθρει τὸν πολιὸν μὲν τὴν τρίχα καὶ γηραιὸν τὸν χρόνον ἐμὲ, μικρὸν δὲ τὴν ἡλικίαν ἐν τοῖς ἀδελφοῖς μου τοῖς ἐπισκόποις, καὶ πάντων εὐτελέστατον καὶ ἐλάχιστον, τῷ μεγαλαύχῳ καὶ σοβαρῷ καὶ ὑψηλῷ τόν τε θρόνον ἐπίσης καὶ τὸ φρόνημα**) συμπλεκόμενον· ὅπως ὁ τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος Κύριος, ταπεινοῖς δὲ χάριν διδοὺς, ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, τὰ δὲ μωρὰ τοῦ κόσμου καὶ τὰ ἀσθενῆ ἐκλεγόμενος καὶ διὰ τούτων καταισχύνων καὶ καταβάλλων τὸν πρῶτον ἰσχυρὸν ἐν κακίᾳ καὶ ὑπερήφανον κοσμοκράτορα καὶ τοὺς αὐτοῦ ζηλωτὰς, αὐτὸς καὶ τὴν ἐμὴν ἀσθένειαν ῥώσειε καὶ παραθαρρυνοῖ ἐξελθεῖν εἰς συνάντησιν τῷ τὴν ἀλλόφυλον δόξαν παραδοξάσαντι· κἀγὼ παρ᾽ αὐτοῦ σπασάμενος μάχαιραν, ἣν μόνος ἔχειν αὐχεῖ λόγου δύναμιν, ἀλλὰ φείδομαι τὸ ἑξῆς εἰπεῖν ὡς ἀπότομον, πλὴν ὅτι πάντως

*) ἴσ. τὸ καὶ πλεονάζει.

**) ἐννοεῖ Σωτήριχον τὸν Παντεύγενον ὑποψήφιον τοῦ πατριαρχικοῦ θρόνου τῆς Ἀντιοχείας.

НБ ОНУ імені І.І. Мечникова

ἡ θεία χάρις περιγενήσεται καὶ καταβαλεῖ τὸν ὑψαύχενα.

Τί τοίνυν, ὦ οὗτος, στρεφέσθω γὰρ λοιπὸν ὁ λόγος πρός σε, τί δεινῶς τὴν θείαν θυσίαν περιεργάζῃ; Τί τοὺς θεοκρίτους ἀνακρίνεις ἱερομύστας, τούς τε ἄλλους καὶ τὸν φερωνύμως μέγαν καὶ ὑψίνουν Βασίλειον καὶ Ἰωάννην τὸν Χρυσορρήμονα, παραχαράττων τὰ τῆς μυστικῶς ἐπᾳδομένης εὐχῆς*), αὐτοῖς τε καὶ πᾶσι τοῖς κατ' αὐτοὺς ἱεροθύταις, ἐπὶ τῇ προθέσει τῶν θείων δώρων ἀκροτελεύτια ταῦτα ῥήματα, Σὺ εἶ ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδεχόμενος Χριστὲ ὁ Θεὸς ἡμῶν; Ἢ γὰρ οὐ παραχαράττεις, ὁπότε μόνῳ φῂς τῷ Πατρὶ τὰ θεῖα δῶρα προσάγεσθαι, μὴ μέντοι καὶ αὐτῷ τῷ μονογενεῖ τῷ προσφέροντι μὲν ὡς ἀρχιερεῖ, προσφερομένῳ δὲ ὡς αὐτῷ ὄντι τὰ προσφερόμενα κατὰ τὸ ἀνθρώπινον, προσδεχομένῳ δὲ ταῦτα ὡς Θεῷ. Εἰ γὰρ μὴ καὶ αὐτῷ, πῶς ὁ αὐτὸς οὐ προσφέρων μόνον καὶ προσφερόμενος, ἀλλὰ καὶ προσδεχόμενος λέγεται; Ἢ γὰρ ἀληθῶς τὸ, προσδεχόμενος λέγεται, καὶ δέχου τὸ, καὶ αὐτῷ τὴν θυσίαν προσάγεσθαι, ἢ τοῦτο μὴ δεχόμενος, ἴσθι παραχαράττων τὸ προσδεχόμενος. Οὔ, φησιν, ἀλλὰ τὸ λέγειν τὴν προσληφθεῖσαν τῷ Λόγῳ φύσιν μὴ τῷ Πατρὶ προσενηνοχέναι μόνον, ἀλλὰ καὶ τῇ θεότητι τοῦ μονογενοῦς τὸ οἰκεῖον αἷμα, οὐ μόνον ταῖς

*) ἐνταῦθα λείπει τι.

ἡμεδαπαῖς ἀρχαῖς ἀνακόλουθον, ἀλλὰ καὶ τὴν κατὰ Νεστόριον εἰσάγει διαίρεσιν. Εἰ γὰρ δὴ τῶν φύσεών ἐστι τὸ τὴν μὲν προσάγειν, τὴν δὲ προσίεσθαι, πᾶσα ἀνάγκη καὶ τὴν προσάγουσαν καὶ τὴν προσιεμένην ἑκατέραν λέγειν ὑπόστασιν· τοῦτο δὴ τὸ Νεστορίου θανατῶδες ἁμάρτημα. Ἀλλὰ ταῦτα μὲν ὡς ἐκ προσώπου τινός φησι, προσαγγέλλοντος ἕτερον, διαιροῦντα τὰς φύσεις Χριστοῦ, καὶ τὴν μὲν προσάγειν, τὴν δὲ προσίεσθαι λέγοντα, καὶ διὰ τοῦτο δοκοῦντα νεστοριάζειν· αὐτὸς δὲ τὴν προσαγγελίαν ὡς ἀληθεύουσαν πάντως παραλαβὼν, καίτοι γε μηδὲ τὸν προσαγγελέα παραστησάμενος· οὐ γὰρ εἶχεν ἴσως· ἀλλ' οἴκοθεν ἀναπλάσας καὶ τὴν κατηγορίαν καὶ τὰ κρινόμενα πρόσωπα κατά τε τοὺς παρ' ἡμῖν τῆς ἀδικίας κριτὰς, πρὸς ψιλὸν λόγον τὸν προσαγγελθέντα σκιαμαχεῖ καὶ τοῦ μὴ παρόντος ἢ μηδὲ ὄντος ὅλως ἐρήμην καταψηφίζεται καί φησιν· ὡς δεινόν τι λέγεις εἶναι τὸ τοῦ εἰπόντος, οὐκ οἶδα εἰπεῖν εἴτε ἀγνόημα εἴτε παράπτωμα. Εἰ γὰρ οὕτω πως εἶπεν· ὡς ὁ Θεὸς Λόγος γενόμενος ἄνθρωπος αὐτὸς ὡς θύτης κατὰ τὴν πρόσληψιν προσενήνοχεν· αὐτὸς ὡς θῦμα κατὰ τὴν σάρκα προσενήνεκται· αὐτὸς ὡς Θεὸς προσήκατο τὸ δοθέν, καὶ πανταχῇ τὴν ὑπόστασιν κατὰ τὰς ἐνεργείας τῶν φύσεων παρελάμβανεν· ἦν μὲν καὶ οὗτος ὁ λόγος ὀλίγου δέον οὐκ ἀσφαλής· τὸ δὲ τὰς φύσεις διιστῶντα λέγειν καθ' ἑαυτὰς ἐνεργεῖν, μηδαμῇ παραλαμβανομένης τῆς ὑποστάσεως, βαβαὶ κινδυνῶδες καὶ ἐπιεικῶς ἐστι χαλεπόν.

Ταῦτα ῥητῶς ὁ λόγος τοῦ ἀντιθέτου διέξεισιν. Ἀλλὰ τίς ἂν εἴη, σοφώτατε, φαμὲν ἡμεῖς, μὴ ὅτι γε τῆς ἔνδον καὶ ἡμετέρας αὐλῆς, ἀλλὰ καὶ τῶν ἔξω ταύτης, φύσεις εἰσάγων ψιλὰς καὶ ἀνυποστάτους, καὶ ταύτας ἐνεργεῖν τι καθ᾿ ἑαυτὰς δυναμένας, ὡς τὴν μὲν προσάγειν, τὴν δὲ προσίεσθαι λέγειν τὸ προσαγόμενον, τοῦτο δὲ καὶ αἷμα εἶναι τῆς προσαγούσης; βαβαί! Σχετλιάζειν γὰρ ἐνταῦθα μᾶλλον εἰκὸς τῆς ἀνυποστάτου ἰδέας. Ἰδέας γάρ τινας ἀναπλάττει Πλάτων ὁ τῶν παρ᾿ Ἕλλησι σοφῶν ἐξοχώτατος, οὕτω τάχα τὰ γένη καὶ τὰ εἴδη καλῶν· ὅθεν καὶ τούτων τὰς μὲν καθολικωτέρας, τὰς δὲ μερικωτέρας ἑνάδας φησίν, ἀλλ᾿ οὐχὶ καὶ ἀνυποστάτους ταύτας εἰσάγει κατὰ τὴν σὴν ὑπόθεσιν, ὦ νέε σοφέ· πολλοῦ γε καὶ δεῖ· καθ᾿ ὅσον καὶ πρώτας εἶναι ταύτας καὶ αὐθυποστάτους οὐσίας εἴτουν φύσεις, μάλιστα τὰς καθολικωτέρας, ἐξ ὧν καὶ τὰς μερικωτέρας ὑφεστάναι δισχυρίζεται· ὡς καὶ θεοὺς ταύτας πρώτους καὶ δευτέρους ἀναγορεύειν· κἀκ τούτων αὖθις τἄλλα λέγειν ὑφίστασθαι. Ἀλλὰ ταύτην τὴν Πλάτωνος δόξαν ἀρκούντως ἀνέτρεψεν ὁ μετ᾿ ἐκεῖνον εὐθὺς τῷ χρόνῳ περιττὸς τὴν σοφίαν Ἀριστοτέλης, ὃς καὶ τερετίσματα τοὺς περὶ τῶν ἰδεῶν τούτων λόγους τοῦ Πλάτωνος εὐστόχως ὠνόμασεν, ὡς μηδὲν πρὸς κατάληψιν τοῦ ὄντος συντείνοντας, μηδὲ ψόφων κενῶν καὶ πρὸς ἁρμονίαν ἀσυντελῶν διαφέροντας. Ὅθεν καὶ οἱ τὸν περίπατον Ἀριστοτέλους διαδεξάμενοι, αὐτὰς δὴ ταύτας τὰς ἰδέας ἐν ἐπινοίαις

НБ ОНУ імені І.І. Мечникова

ψιλαῖς κεῖσθαι ἀπεφήναντο. Ἀλλ' οἱ μὲν ἔξω σοφοὶ ἔξω λοιπὸν καὶ τοῦ παρόντος ἀφείσθωσαν λόγου· τὸν δὲ τὰς φύσεις Χριστοῦ διαιροῦντα, τὴν προσληφθεῖσαν, ἤτοι τὴν ἀνθρωπότητα, καὶ τὴν θεότητα, πῶς, ὦ κατήγορε σύ, ὅστις ποτὲ εἶ, τὴν τοῦ Νεστορίου φὴς εἰσάγειν διαίρεσιν; ἢ καὶ ὁ κρίνων πῶς ἀποφαίνῃ δεινὸν εἶναί τι μετ' ἐπιστάσεως, τὸ τοῦ εἰπόντος, ὅ μήδ' εἰπεῖν οἶδας, εἴτ' ἀγνόημα εἴτε παράπτωμα; Οὐ γὰρ ὅτι τὰς φύσεις διῄρει Νεστόριος, ἀλλ' ὅτι δύο ὑποστάσεις ἔλεγε τὸν Χριστὸν, ἄλλην μὲν τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα Λόγον, ἄλλην δὲ τὸν ἐκ τῆς Παρθένου, διὰ τὴν τοιαύτην διαίρεσιν ἐγκαλεῖται τὴν αἵρεσιν. Ἐπεὶ, εἰ τὸν τὰς φύσεις Χριστοῦ διαιροῦντα Νεστοριανὸν ἐθέλεις καλεῖν, ὅρα σοι καὶ τὴν τετάρτην ὅλην ἐκείνην τὴν μεγάλην Σύνοδον ἀθετεῖν, καὶ τοῖς περὶ Διόσκορον Εὐτυχέα τε καὶ Σεῦηρον αἱρετικοῖς ἑαυτὸν συντάττειν· τὸ δὲ καὶ τὴν μὲν τῶν φύσεων προσάγειν, τὴν δὲ προσίεσθαι μή ποτε οὐκ ἔχεις εἰπεῖν τὸν εἰπόντα, ἀλλὰ σὴ τοὐθ' ὅλον ὑπόθεσίς ἐστιν· ἢ καὶ τὸ ἄλλως εἰρημένον ἄλλως ἀπαγγέλλεις, καὶ πλάττεις συκοφαντίαν, ἵνα κρίνῃς ἀδικίαν ἀπεναντίας τῆς προφητικῆς ἐκείνης παρεγγυήσεως. Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθείας κρίνετε υἱοὶ τῶν ἀνθρώπων*). Σὺ μὲν οὖν οὕτως εἰσαγαγὼν τὴν ὑπόθεσιν, οὕτω καὶ τὴν κρίσιν ἐξάγεις. Εἰ γὰρ δὴ τῶν φύσεών ἐστι λέγειν, τὸ τὴν μὲν προσ-

*) Ψαλμ. νζ. 1.

НБ ОНУ імені І.І.Мечникова

άγειν, τὴν δὲ προσίεσθαι, πᾶσα ἀνάγκη καὶ τὴν προσάγουσαν ὡς ἀρχιερέα καὶ θύτην λεγειν ὑπόστασιν, καὶ τὴν προσιεμένην τὰ περὶ τὴν θυσίαν ὡς Θεὸν ὁμοίως ὑπόστασιν· ὁ δ' εὐθύς τε καὶ ἀληθὴς καὶ δίκαιος κριτὴς φαίη ἂν οὕτως. Εἰ δύο φύσεις Θεὸς καὶ ἄνθρωπος, μία δ' ὑπόστασις ὁ Χριστὸς, ἀνάγκη τὸν ἕνα Χριστὸν καθ' ἑκατέραν τῶν φύσεων ὡς μὲν ἄνθρωπον καὶ ἀρχιερέα καὶ θύτην τὸ θῦμα, τουτέστι τὸ οἰκεῖον αἷμα προσφέρεσιν, κατὰ τοῦτο δὲ καὶ προσφέρεσθαι· ὡς δὲ Θεὸν τοῦτο προσδέχεσθαι, ἵνα ὁ αὐτὸς ᾖ κατὰ τοὺς ἁγίους Πατέρας καὶ πᾶσαν τὴν καθολικὴν ἐκκλησίαν καὶ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος, ὅπερ οἶμαι καὶ τὸν παρὰ σοῦ κατηγορούμενον λέγειν. Εἰ δὲ τοῦτον δύο εἰσάγειν πρόσωσα φὴς, τὸ μὲν διὰ τὸ προσφέρειν, τὸ δὲ διὰ τὸ προσιεσθαι, καὶ διὰ τοῦτο νεστοριάζειν, τί μὴ καὶ τρίτον προστιθῇς πρόσωπον διὰ τὸ προσφέρεσθαι, ἵνα καὶ θανατωδέστερον τοῦ κατὰ Νεστόριον εἴπῃς τὸ κατὰ τοῦτον ἁμάρτημα; Ὃν γὰρ τρόπον ὁ προσιέμενος τοῦ προσάγοντος, τὸν αὐτὸν καὶ ἄμφω τοῦ προσαγομένου διαιρεῖσθαι δύνανται. Ὡς γὰρ οὐ ταυτὸν ἱερεὺς καὶ Θεὸς, οὕτως οὐ ταυτὸν ἱερεὺς καὶ θῦμα, ἢ Θεὸς καὶ θῦμα. Εἰ δὲ τὸν αὐτὸν θύτην τε δέχῃ καὶ θῦμα, τὸν αὐτὸν καὶ Θεὸν ὁμολόγει· εἰ δὲ μὴ, σαφῶς καὶ νεστοριάζεις καὶ ἀρειανίζεις· Θεὸν δὲ ὁμολογῶν δέχου καὶ προσιέμενον. Οὐ γὰρ ἄλλος οὗτος Θεὸς παρὰ τὸν Πατέρα, ἀλλ' ἐγώ φησι καὶ

НБ ОНУ імені І.І.Мечникова

ὁ Πατὴρ ἕν ἐσμεν*). Ἐκεῖνο δὲ πῶς οὐ κατηγορεῖς τοῦ, καθὰ φῄς, τῷ Πατρὶ τὴν θεότητα τοῦ μονογενοῦς ἀντιδιαστέλλοντος ἐν τῷ λέγειν, μὴ τῷ Πατρὶ μόνον, ἀλλὰ καὶ τῇ θεότητι τοῦ μονογενοῦς προσενηνέχθαι τὸ θῦμα; ὡς ἢ τὴν τῶν προσώπων διαίρεσιν Πατρὸς καὶ Υἱοῦ εἰς διαίρεσιν φύσεων μεταλαμβάνοντος κατὰ Ἄρειον, ἢ τὰς ὑποστάσεις Πατρὸς καὶ Υἱοῦ συγχέοντος κατὰ Σαβέλλιον διὰ τὴν τῆς φύσεως ἕνωσιν. Οὐδὲ γὰρ δεῖ φύσιν πρὸς ὑπόστασιν ἀντιδιαιρεῖν τόν γε εἰδότα διαφορὰν φύσεως καὶ ὑποστάσεως· οὐδὲ πρὸς φύσιν ὑπόστασιν, ἀλλ' ἢ φύσιν πρὸς φύσιν ὡς ἐπὶ τοῦ Χριστοῦ, ἢ ὑπόστασιν πρὸς ὑπόστασιν ὡς ἐπὶ τῆς τρισυποστάτου θεότητος· ὡς ἥ γε τούτων ἀδιάφορος ἐναλλὰξ παράθεσις τὰς ἐναντίας οἶδεν αἱρέσεις ἀποτελεῖν. Ἀλλὰ τοῦτο μὲν, καίτοι τοσοῦτον ὂν, καὶ πρὸ τῶν ὀμμάτων σοι κείμενον, παρορᾷς, πρὸς δὲ τὸ ἀφανὲς ἢ καὶ μηδόλως ὂν ὀξὺ βλέπειν σχηματίζῃ. Καὶ ὃ κατηγορῶν οὐκ εἶπας εἰπεῖν τὸν κατηγορούμενον, τὸ δύο τὸν Χριστὸν ὑποστάσεις εἶναι, τοῦτο συλλογιστικῶς ἐκ ψευδοῦς ὑποθέσεως συμπεραίνειν πειρᾷ· εἶτα καὶ διορθοῦσθαι τὸ ἐκείνου ἀγνόημα ἢ παράπτωμα θρασυνόμενος, αὐτὸς αὐτίκα πτῶμα πίπτων ἐξαίσιον· ἅμα δὲ καὶ σαυτὸν περιτρέπων ἀγνοεῖς· ἐπανορθωτικὸν γάρ τι τοῦ παραπτώματος εἴτουν ἀγνοήματος ἐκείνου εἰπεῖν προθέμενος· τοῦτο γάρ σοι πάντως

*) Ἰωάν. ι'. 30.

НБ ОНУ імені І.І. Мечникова

ἐβούλετο τό, Εἰ γὰρ οὕτω πως εἶπεν, ὡς ὁ Θεὸς Λόγος γενόμενος ἄνθρωπος καὶ τὰ ἑξῆς, ὅσα παραλαβὼν αὐτὸς τῇ ὑποστάσει*) ταύτῃ δεδοκέναι καὶ τὸ ἐνεργῆσαι καὶ τὸ παθεῖν καὶ τὸ προσδέξασθαι τὴν θυσίαν ἔδοξας, ἀντὶ τοῦ στηρίξαι καὶ βεβαιῶσαι καὶ ἀσφαλῆ καταστῆσαι τὴν τοιαύτην διόρθωσιν· σὺ δὲ καὶ τοῦτον αὐτὸν τὸν σὸν λόγον ὡς οὐκ ἀσφαλῆ διαχλευάζεις, ὥσπερ ἄρα πρὸς πάντα λόγον μάχεσθαι παρασκευασάμενος κατ' ἐκείνους τοὺς λεγομένους ἐφεκτικοὺς Σέξτον καὶ Πύρρωνα· καὶ πῶς, ὦ οὗτος, ὁ λόγος οὗτος οὐκ ἀσφαλής, ὁ πανταχῇ τὴν ὑπόστασιν ἐν ταῖς κατὰ τὰς φύσεις ἐνεργείαις παραλαμβάνων; Καὶ εἰ μήδ' οὗτος, τίς ἄλλος ὁ ἀσφαλής; Καὶ τί μὴ ἐκεῖνον ἐκτίθης, τὸ μικροῦ δέον ἀναπληρῶν; Ἀλλὰ σὺ μὲν οὕτως οὐδὲν ἀσφαλὲς οἶδας, οὐδὲ βέβαιον ἀποφαίνεσθαι, ὡς καὶ σαυτὸν, ἐν οἷς τι βέβαιον παρορμᾷς εἰπεῖν, ἀνατρέπειν· ἐγὼ δὲ καὶ τὸν παντάπασιν ἀσφαλῆ λόγον ἤδη τε συνοπτικῶς ἐξεθέμην καὶ αὖ πλατύτερον διασαφήσω καὶ τὸ λαθὸν, ὥς γε ἔοικε, καὶ διαφυγόν σε σφάλμα τῆς κατὰ σὲ τοῦ ἀλλοτρίου σφάλματος διορθώσεως, εἰς τὸ ἐμφανὲς παραστήσω. Ὁ Θεὸς Λόγος διὰ φιλανθρωπίαν γενόμενος ἄνθρωπος, ἵνα τὸν ἄνθρωπον, ὃν ἀπώλεσεν ἡ παράβασις καὶ ξένον Θεοῦ πεποίηκεν, ἀνασώσηται καὶ ἑαυτῷ οἰκειώσηται· αὐτὸς ὡς μὲν ἄνθρωπος καὶ θύτης γέγονεν ὁ αὐτὸς καὶ

*) χειρ. τὴν ὑπόστασιν.

θῦμα καὶ προσφέρων καὶ προσφερόμενος, ἐφάπαξ μὲν κατὰ τὸν τοῦ πάθους καιρὸν ἑαυτὸν προσενέγκας, εἰς δὲ τὸ διηνεκὲς καθίσας ἐν τῇ δεξιᾷ τοῦ Θεοῦ, αὐτὸς ὢν ἡ δεξιὰ καὶ ὁ βραχίων ὁ ἅγιος. Οὐ γὰρ δὴ τοπικὴν ἐκεῖ καὶ σωματικὴν νοητέον τὴν δεξιάν, ἀλλ' ὁ κατὰ τὴν οἰκονομίαν χρηματίσας ἄνθρωπος, φύσει Θεὸς ὢν ὁ αὐτὸς καὶ Υἱὸς καὶ Λόγος τοῦ Πατρὸς, ἐκάθισεν ἐπὶ θρόνου δόξης αὐτοῦ τε καὶ τοῦ Πατρὸς καθά φησι καὶ τὰ εὐαγγέλια πῇ μὲν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ*), πῇ δὲ, ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ**), ἀδιάφορον ὂν οὕτως ἢ οὕτως εἰπεῖν, διὰ τὸ τὴν δόξαν κοινὴν εἶναι καὶ μίαν ἀμφοῖν. Ἐκάθισεν οὖν ὁ θεάνθρωπος Ἰησοῦς ἐν τῇ δεξιᾷ τοῦ Πατρός, τουτέστιν ἐν ἑαυτῷ· ταύτην δὲ καὶ πρόσφατον ἡμῖν καὶ ζῶσαν ὁδὸν ἐνεκαίνισεν εἰς τὰ ἅγια· πρόσφατον κατὰ τὸν χρονικὸν ἐκεῖνον τοῦ πάθους καιρόν· ζῶσαν κατὰ τὸν αἰῶνα τὸν ἀεὶ ὄντα· οὕτω δὲ καὶ αἰωνίαν ταύτην ἡμῖν εὕρατο λύτρωσιν διὰ τῆς ἐφάπαξ, ὡς εἴρηται, θυσίας αὐτοῦ, τὸ ἐμφανίζειν ἑαυτὸν ἀεὶ διὰ τῶν ἀεὶ τελουμένων παρὰ τῶν ἱερουργῶν θυσιῶν τῷ προσώπῳ τοῦ Θεοῦ, ἤγουν ἑαυτῷ. Αὐτὸς γάρ ἐστι καὶ πρόσωπον τοῦ Θεοῦ, ὁ χαρακτὴρ τῆς πατρικῆς ὑποστάσεως, ὃν ὁ ἑωρακὼς ἑώρακε τὸν Πατέρα. Ὡς μὲν οὖν ἄνθρωπος οὕτω καὶ προσάγειν λέγεται καὶ προσάγεσθαι· ὡς δὲ καὶ Θεὸς ὁ αὐτὸς προσ-

---

*) Ματθ. κε΄. 31.

**) Ματθ. ιϛ΄. 27.

НБ ОНУ імені І.І. Мечникова

δέχεται τὴν παρ᾽ ἑαυτοῦ θυσίαν μετὰ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος. Ἀεὶ γὰρ ἀχώριστος ἡ Τριάς· καὶ πᾶν τὸ κοινῇ τοῖς τρισὶν ἀνῆκον, κἂν περὶ ἑνός ποτε τούτων λέγηται, δεῖ καὶ περὶ τῶν ἑτέρων συνεξακούεσθαι. Εἰ οὖν καὶ πᾶσα δόξα καὶ τιμὴ καὶ προσκύνησις κοινῇ τῇ ὅλῃ πρέπει Τριάδι, κατὰ τὰς πάντων τῶν ἱερέων πρὸς Θεὸν προσφωνήσεις· εἶδος δὲ τιμῆς καὶ ἡ θυσία, ὡς καὶ τῷ θεολόγῳ Γρηγορίῳ δοκεῖ, εἰς τιμὴν τοῦ Πατρὸς οἰκονομῆσαι τὸν Υἱὸν φήσαντι τὴν προσαγωγὴν τοῦ οἰκείου αἵματος· πῶς τὸ εἰς τιμὴν τοῦ Πατρὸς οἰκονομηθὲν οὐχὶ καὶ εἰς τιμὴν τοῦ Υἱοῦ ᾠκονόμηται καὶ τοῦ Πνεύματος, εἴπερ μία καὶ κοινὴ τῶν τριῶν ἡ τιμή; Εἰ δὲ τοῦτο, πῶς οὐχὶ καὶ τὰ τρία τὴν θυσίαν προσίενται; Καὶ μὴν ἄλλως. Εἰ προσφέρει μὲν ὡς ἄνθρωπος καὶ προσφέρεται κατὰ σέ, οὐκέτι δὲ καὶ προσδέχεται ὡς Θεός· ἀλλ᾽ ἐπὶ κεφαλὴν τοῦ αἰτίου τὸ βλάσφημον, ὅτι ψιλὸς ἄνθρωπος ὁ Χριστὸς καὶ ὁ φύσει Θεός, ὅπερ ἡ τοῦ Νεστορίου αἵρεσις βούλεται· τοῦτο δὴ τὸ τῷ ὄντι θανατῶδες ἁμάρτημα. Εἰ γὰρ μὴ συντιμᾶται τῷ Πατρὶ διὰ τῆς θυσίας, αὐτόθεν δῆλον, ὅτι τὸ μὴ συντιμώμενον οὐχ ὁμότιμον· τὸ δὲ μὴ ὁμότιμον οὐδὲ ὁμοούσιον, εἴπερ τὸ ὁμοούσιον καὶ ὁμότιμον· οὐδ᾽ ἄρα Θεὸς κατὰ τὴν τοῦ Πατρὸς φύσιν· καί τι διοίσει τῶν αὐτοῦ μὴ ἔχειν ἡμᾶς*), εἰ καὶ αὐτοὶ Θεοὶ κατὰ χάριν ἐσμέν, τὴν χάριν ταύτην λα-

*) χειρόγ. ἔχων ἡμῶν.

βόντες διὰ τοῦ θείου βαπτίσματος, δι᾽ οὗ καὶ υἱοθετήθημεν καὶ χριστοὶ καὶ αὐτοὶ κατὰ μετοχὴν αὐτοῦ γεγόναμεν· ἀλλ᾽ αὐτὸς οὐχ οὕτως· οὐ κατὰ χάριν Θεός· οὐ καθ᾽ ἡμᾶς Χριστός, ἀλλὰ παρ᾽ ἡμᾶς, τουτέστιν ὑπὲρ ἡμᾶς, κατὰ τὸ πρὸς αὐτὸν προφητικῶς εἰρημένον. Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου*). Παρ᾽ ἡμᾶς οὖν οὗτος Χριστός, παρ᾽ ὅσον ἐν αὐτῷ μὲν κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος, ὡς ὁ θεῖος Παῦλός φησι, καὶ ἔστιν αὐτὸς ὁ Θεὸς ὁ φύσει ὁμοούσιος τῷ Πατρί· ἡμεῖς δὲ πάντες κατὰ τὸν ἐξαιρέτως φερωνυμούμενον θεολόγον ἐκ τοῦ πληρώματος αὐτοῦ κατὰ μετοχὴν αὐτοῦ τὴν χάριν ταύτην λαβόντες ἔχομεν, χρισθέντες τῷ πνεύματι μυστικῶς καὶ οὕτως υἱοθετηθέντες καὶ θεωθέντες. Οὕτως ἐγὼ καὶ Θεὸν ἕνα σέβω τὴν ὑπερηνωμένην Τριάδα, τὰ πρόσωπα διαιρῶν οὐ τὴν φύσιν, καὶ μίαν τοῖς τρισὶν ἀπονέμων δόξαν καὶ τιμὴν καὶ προσκύνησιν, ἥτις τε ἄλλη καὶ διὰ τῆς ἱερᾶς θυσίας, καὶ τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν κατὰ τὴν ὑπόστασιν διπλοῦν κηρύττω ταῖς φύσεσιν, ἐνεργοῦντα κατ᾽ ἄμφω τὰ ἑκατέρας οἰκεῖα καὶ προσφέροντα μὲν καὶ προσφερόμενον ὡς ἄνθρωπον, προσδεχόμενον δὲ ὡς Θεόν. Σὺ δὲ πάντοθεν περιτρέπῃ, ἐκεῖθεν μὲν ἀποστερῶν τὸν Υἱόν, ὡς δὲ καὶ τὸ Πνεῦμα, τῆς κοινῆς τιμῆς, καὶ ἀπ᾽ ἐντεῦθεν ἀναιρῶν τὸ ὁμότιμον, ἐκ δὲ τοῦ ἀκολούθου συναναι-

*) Ψαλμ. μδ΄. 9.

НБ ОНУ імені І.І. Мечникова

ρῶν καὶ τὸ ὁμοούσιον· ἐντεῦθεν δὲ τῇ ἀδιαφορίᾳ τῆς φύσεως καὶ τῆς ὑποστάσεως εἴς τε τὰς ἐναντιωτάτας αἱρέσεις παραφερόμενος καὶ εἰς ἐκεῖνο προφανῶς περιπίπτων τὸ ἄτοπον, ὅπερ ᾐτιῶ τὸν ἀντίθετον τῷ μὴ τῇ ὑποστάσει, ἀλλὰ ταῖς φύσεσιν ἀπονέμειν τὰς ἐνεργείας, ἐν τῷ λέγειν οὕτω ῥητῶς τὰς ἐνεργείας τῶν φύσεων, δέον ἐστί, καὶ παρέλαβες τὴν ὑπόστασιν, ταύτης λέγειν τὰς ἐνεργείας, ἀλλὰ μὴ τῶν φύσεων*), αἵ μήδ᾽ ὑφιστᾶσι καθ᾽ ἑαυτάς· ἀλλὰ καὶ οὕτως ἐν ᾧ κρίματι προέθου κρῖναι**) τὸν ἕτερον, σεαυτὸν μᾶλλον ἔλαθες***) ἢ ἐκεῖνον κατακρίνας καὶ ἀνατρέψας. Ὅμως τὸ μὲν ταῖς φύσεσι διδόναι τὰς ἐνεργείας, ὡς αὐτόθεν ἄτοπον χαίρειν ἐᾷς· αὐτὸς δὲ λοιπὸν τὸν ἀσφαλῆ σοι δόξαντα λόγον ἑξῆς ὑποθέμενος, τὸ μὴ τὴν προσληφθεῖσαν φύσιν, ἀλλ᾽ αὐτὸν τὸν θεάνθρωπον σωτῆρα Χριστὸν τὴν κατ᾽ αὐτὸν θυσίαν προσενεγκεῖν σκέψεως ἀξιοῖς, εἰ καὶ τῇ αὐτοῦ θεότητι προσήνεκται τὸ τυθέν, [θεάνθρωπον τὸν Χριστὸν,]†) πῶς ἰδίᾳ χωρίζεις αὐτοῦ τὴν θεότητα καὶ σκεπτέον λέγεις, εἰ καὶ ταύτῃ προσήνεκται τὸ τυθέν; Ταύτης γὰρ ἰδίᾳ χωριζομένης οὐκέτι λοιπὸν μένει θεάνθρωπος ὁ Χριστός, ἀλλ᾽ ἢ μόνον ἄνθρωπος, καθὸ καὶ τὴν θυσίαν προσάγει· λείπεται

---

*) οὕτω κεῖται ἐν τῷ χειρογράφῳ.

**) χειρ. κρίνας.

***) χειρ. λαθών.

†) ἴσως περιττὸν τό, θεάνθρωπον τὸν Χριστόν.

δὲ καὶ τὴν προσιεμένην τὸ θῦμα φύσιν, κατὰ τὴν σὴν κρίσιν, λέγειν ὑπόστασιν. Οὔκουν ἔδει ταῦθ' οὕτως σκέπτεσθαι τὸν μὴ τὰ τοῦ Νεστορίου φρονοῦντα. Ἐκείνου γὰρ τὸ καὶ τὸν Χριστὸν λέγειν ψιλὸν ἄνθρωπον καὶ πρόσωπον παρ' αὐτὸν τὸν μονογενῆ Λόγον δογματίζειν· ἀνθ' οὗ σὺ τὴν αὐτοῦ θεότητα παραλαμβάνεις διχῶς σφάλλων, ἔν τε τῷ μερίζειν καὶ διαιρεῖν τὸν ἕνα Χριστὸν καὶ ἐν τῷ τὴν φύσιν ἀντὶ τῆς ὑποστάσεως παραδέχεσθαι. Εἰ γὰρ μὴ οὕτως ἐφρόνεις, οὐδ' ἂν ἐσκέπτου, εἰ τῇ θεότητι τοῦ μονογενοῦς τὸ θῦμα προσήνεκται, ἀλλ' εἴπερ αὐτῷ τῷ Πατρί· οὕτω γὰρ ἂν καὶ τὴν μίαν ἐτήρεις ὑπόστασιν καὶ τὴν ἄλλην μέμψιν διέφευγες. Εἶτα τί ὑπερτίθῃ μὲν καὶ ταύτην τὴν σκέψιν, ἐρωτᾷς δὲ τίς καὶ πόθεν ἡ τοῦ λόγου τῷ ἀντιθέτῳ κατασκευή, καί, μαθὼν παρὰ τοῦ προσδιαλεγομένου δῆθεν λέγειν ἐκεῖνον· ὡς, ἐπεὶ πᾶσαν θυσίαν ὁ Θεὸς Λόγος ἁγιάζει καὶ τελειοῖ, πάντως καὶ τὴν τῆς οἰκείας σαρκὸς θυσίαν αὐτὸς ἡγίακέ τε καὶ τετελείωκε τῇ ἑαυτοῦ προσενεχθεῖσαν θεότητι· καὶ πρὸς τοῦτον τὸν λόγον, εἰ καλῶς ἔχει, ἐρωτηθείς, οὐκ, ὦ 'γαθέ, ἀποκρίνῃ; δόξειε γὰρ ἂν τοῦτον οὐκ ἀληθῆ· καὶ πάλιν τὸν οἰκεῖον λόγον ἐκτίθῃ, δι' οὗ διττὸν εἶναι τὸν ἁγιασμὸν ἀποφαίνῃ· τὸν μὲν ἐκ τῆς πρὸς τὸν Λόγον ἑνώσεως τῆς σαρκὸς ἀποτελεσθέντα, ὡς μηκέτι δεῖσθαι ταύτην ἁγιάζεσθαι τῇ πρὸς τὴν αὐτοῦ θεότητα προσαγωγῇ· δεύτερον δὲ τὸν διὰ τῆς πρὸς τὸν Πατέρα προσαγωγῆς, οὗ καὶ μόνου λοιπὸν δεῖσθαι

НБОНУ імені І.І. Мечникова

τὴν σάρκα; Ἀλλὰ πῶς, ὦ 'γαθέ, ἵνα κἀγὼ προσείπω σε κατὰ σέ, ἡ ἐξ αὐτῆς τῆς πρὸς τὸν Λόγον ἑνώσεως ἁγιασθεῖσα σὰρξ καὶ τελειωθεῖσα ἐνδεὴς ἔτι καὶ ἀτελής, ὡς ἁγιασμοῦ δεῖσθαι δευτέρου, τοῦ διὰ τῆς πρὸς τὸν Πατέρα προσαγωγῆς; εἰ μὴ καὶ τὸν πρῶτον ἁγιασμὸν δίδως εἶναι, καὶ τὸν ἐκεῖνον τελέσαντα διὰ τῆς ἑνώσεως Λόγον, τοῦ Πατρὸς ἐλάττω, τοῦ τὸ ἐνδέον τῷ πρώτῳ ἁγιασμῷ διὰ τοῦ δευτέρου ἀναπληρώσαντος· καίτοι γε πλέον εἶναί τι δοκεῖ τῆς προσαγωγῆς ἡ ἕνωσις. Οὐ γὰρ πάντως ἑνοῦται τῷ προσιεμένῳ τὸ προσαγόμενον, ἀλλ' εἴπερ ἄρα οἰκειοῦταί πως, πολὺ δὲ λείπεται τῆς ἑνώσεως ἡ οἰκείωσις. Οὐκ ἂν δὲ ἡ τοῦ πλείονος δόσις ἐδεῖτο τῆς τοῦ ἐλάττονος, ἡ ἕνωσις τῆς προσαγωγῆς, εἰ μὴ καὶ ὁ διὰ τοῦ πλείονος τὸ ἧττον διδοὺς πολύ τι τοῦ διὰ τοῦ ἥττονος τὸ πλεῖον διδόντος ἠλάττωτο, ἀλλ' οὐκ ἔστι ταῦτα οὐκ ἔστιν· οὐκ ἔγω γε δύο φαίην ἂν τοὺς ἁγιασμοὺς τῆς σαρκὸς ὡς δεῖσθαι θατέρου τὸ ἕτερον, ἀλλὰ καὶ ὁ ἁγιάζων εἷς, ὁ Κύριος Ἰησοῦς Χριστός, καὶ ὁ παρ' αὐτοῦ ἐνεργούμενος ἁγιασμός, εἰ καὶ πολλάκις καὶ πολυτρόπως, εἷς. Ἐνεργεῖ γὰρ ἁγιασμὸν τῆς ἐμῆς φύσεως ὁ Σωτήρ, τὸ μὲν πρῶτον διὰ τῆς πρὸς τὴν σάρκα ἑνώσεως, εἶτα διὰ τῆς ὀκταημέρου περιτομῆς, πρὸς δὲ καὶ τῆς τεσσαρακονθημέρου πρὸς τὸν ναὸν προσαγωγῆς καὶ τῆς τηνικαῦτα νομικῆς θυσίας, ἔπειτα διὰ τῆς τελειοτέρας καὶ ἀχειροποιήτου περιτομῆς τοῦ βαπτίσματος, καὶ τελευταῖον διὰ τοῦ πάθους καὶ τοῦ θανάτου. Σὺ

НБ ОНУ імені І.І. Мечникова

*μὲν οὖν ἀρίθμει τὸν χρόνον καὶ συναρίθμει τούτοις τοὺς καθ' ἕκαστον ἁγιασμοὺς καὶ μηκέτι δύο, ἀλλὰ πλείους σύναγε τούτους· ἐγὼ δὲ πρὸς τὸν ἕνα πάντων σκοπὸν ἀφορῶν καὶ τὸ πολλαχόθεν συναγόμενον ἀποτέλεσμα, ἕνα καὶ τὸν ἁγιασμὸν ἀποφαίνομαι, οὐ νῦν ἄλλον καὶ ἄλλον ἄλλοτε, ἀλλὰ τὸν αὐτὸν πολλάκις καὶ πολλαχῶς· ἐπεὶ καὶ τὸ ὑποκείμενον ἕν, ἡ ἐμὴ φύσις καὶ ὁ σκοπὸς εἷς, τὸ τὴν φύσιν ἁγιασθῆναι καὶ θεωθῆναι τῇ χάριτι εὐδοκίᾳ τοῦ Πατρὸς καὶ συνεργείᾳ τοῦ θείου Πνεύματος. Οὕτω καὶ ὁ θεσπέσιος Παῦλος, ὁ ἁγιάζων, λέγει, καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες*). Τίς οὗτος ὁ ἁγιάζων ἢ δῆλον ὅτι ὁ Χριστός, ὃς καὶ τοὺς ἁγιαζομένους ἡμᾶς οὐκ ἐπαισχύνεται καλεῖν ἀδελφούς, ὡς ἐξ ἑνὸς τοῦ κατὰ φύσιν Πατρὸς αὐτοῦ γεγεννημένους καὶ υἱοὺς τῇ χάριτι χρηματίζοντας; Ἔτι δὲ σαφέστερον αὐτὸς ὁ Χριστὸς εἰς τὸ πάθος ἐρχόμενος, αὐτὸ δὴ τὸ διὰ πάσης τῆς οἰκονομίας ἐνεργούμενον τοῦ ἁγιασμοῦ τέλος, Ἐγώ, φησιν, ἁγιάζω ἐμαυτόν**)· ὅπερ οὐκ οἶδα πῶς σὺ παρέλαβες ὡς συντελοῦν σοι πρὸς τὴν ἀπόδειξιν τῆς πρὸς τὸν Πατέρα προσαγωγῆς τοῦ σωτηρίου καλλιερήματος· ὡς ἔγω γε μᾶλλον ἐντεῦθεν ὁρμῶμαι πρὸς κατανόησιν τῶν ἐν ἑνὶ τῷ αὐτῷ Χριστῷ συνελθουσῶν δύο φύσεων καὶ τοῦ αὐτὸν εἶναι τὸν ἁγιάζοντα τὴν θυσίαν ἐν τῷ προσδέχεσθαι, ὡς*

---

*) Ἑβρ. β'. 11.

**) Ἰωάν. ιζ'. 19.

НБ Одеського Національного університету імені І.І. Мечникова

καὶ Θεὸν ὄντα. Οὐ γάρ, ὡς ἂν σὺ παρεξηγήσῃ, καὶ τὸ ἁγιάζειν καὶ τὸ ἁγιάζεσθαι κατὰ τὴν μίαν φύσιν ἤτοι τὴν ἀνθρωπότητα τὸν Χριστὸν λέγειν, καὶ ὁ ἀληθὴς ἐξηγητὴς φήσειεν· ἀλλ' Ἐγὼ μὲν εἰπὼν ἔδειξε τὴν μίαν ὑπόστασιν· ἵνα δὲ καὶ τὰς δύο φύσεις αὐτοῦ γνωρίσῃ, ἐπήγαγεν, Ἁγιάζω ἐμαυτόν· ὡς μὲν Θεὸς ἁγιάζω· ἐγὼ γὰρ καὶ τοῦτο· ἐμαυτὸν δὲ ὡς ἄνθρωπον. Εἰ δὲ σὺ καὶ τὸ ἁγιάζειν βιάζεις ἐφαρμόζειν τῷ Χριστῷ κατα τὸ ἀνθρώπινον, εἶναι παρ' αὐτοῦ καὶ τοῦτο ἅγιον [ἔστω] κατὰ τό, ἅγιος ὁ ναός σου· ὡς λέγειν τὸν Χριστὸν τὸ ἁγιάζω ἐμαυτὸν τὸ μὲν ὡς ἱερέα, τὸ δὲ ὡς ἱερεῖον· ἀλλὰ καὶ τὸ ἱερεῖον κατὰ τοῦτον τὸν λόγον ἅγιον· καὶ πῶς τὸ ἅγιον ἁγιάζεσθαι λέγεται, εἰ μὴ δευτέρου πάλιν ἁγιασμοῦ δεῖσθαι αὐτὸ δοίημεν; ὅπερ ἱκανῶς ἤδη φθάσας ὁ λόγος ἀνέτρεψε μετὰ τοῦ καὶ ἕνα δεῖξαι τὸν ἁγιασμὸν ὄντα· ἢ τῷ Χριστῷ μᾶλλον αὐτῷ πιστέον, ἐν οἷς τὸν περὶ τῆς σαρκὸς ἐκίνησε λόγον καὶ τὸν τρώγοντα ταύτην ζωὴν αἰώνιον ἔχειν ἀπεφήνατο, καὶ ἐπειδὴ πολλοὶ καὶ τῶν αὐτοῦ μαθητῶν πρὸς τοῦτον τὸν λόγον ἐσκανδαλίσθησαν, ὡς ἀδύνατον ὂν βρωθῆναι καὶ τὸν φαγόντα ζῆν δι' αὐτήν, περιαιροῦντι τούτοις τὸ σκάνδαλον, δι' ὧν ἐπήγαγεν ἑρμηνεύων τό, πᾶς ὁ τρώγων ἤτοι τὴν ἑαυτοῦ σάρκα ζήσεται δι' αὐτόν, τὸ πνεῦμά ἐστιν, εἰπών, τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν*)· καίτοι καὶ ὁ ναὸς ὅλος ἅγιος

*) Ἰωάν. ϛ'. 63.

НБ ОНУ імені І.І. Мечникова

καὶ ἡ σὰρξ ἁγία καὶ παναγία καὶ ζωοποιὸς ἐξ αὐτῆς τῆς πρὸς τὸν Λόγον ἑνώσεως, καὶ πῶς ἡ ἁγία οὐκ ὠφελεῖ οὐδέν; ἢ καθὸ σὰρξ οὔτε ζωή ἐστιν, οὔτε τὸ ζῆν αὐτὴ δίδωσι τοῖς ἄλλοις, ὅπερ ἐστὶ τὸ μηδὲν αὐτὴν ὠφελεῖν, ἀλλὰ τὸ πνεῦμά ἐστι τὸ καὶ ταύτην ζωοποιοῦν, καὶ δι᾽ αὐτῆς παρέχον τὸ ζῆν τοῖς ταύτην τρώγουσι. Τί δὲ τὸ πνεῦμά ἐστιν; αὐτὸς ὁ λέγων, Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ*)· δῆλον ὅτι καθὸ Θεός· πνεῦμα γὰρ ὁ Θεός· καὶ πνεῦμα προσώπου ἡμῶν Χριστὸς Κύριος. Καὶ τίς ἡ παρ᾽ αὐτοῦ διδομένη ζωή; Τὰ ῥήματά, φησι, ἃ ἐγὼ λαλῶ, πνεῦμά ἐστι καὶ ζωή ἐστι**)· καὶ ὅλος μὲν οὖν ἐστιν ἁγιάζων κατὰ τὴν μίαν ὑπόστασιν καὶ ὅλος ἁγιαζόμενος, ἀλλ᾽ ἑαυτὸν ἑκάτερον· ἀλλὰ τὸ μὲν καθὸ Θεός, τὸ δὲ καθὸ ἄνθρωπος· ὅλος μὲν διὰ τὸν τρόπον τῆς ἀντιδόσεως, οὐ καθ᾽ ὅλον δὲ διὰ τὰς τῶν φύσεων ἰδιότητας. Ὥσπερ οὖν ἡμῖν τῇ τῆς σαρκὸς κοινωνίᾳ κοινωνεῖν τοῦ ἁγιάζεσθαι καὶ τοῦ προσφέρεσθαι λέγεται, οὕτω πολλῷ πρότερον ἐκείνης τοῦ ἁγιάζειν καὶ τοῦ προσίεσθαι τῷ Πατρὶ καὶ τῷ Πνεύματι· καθ᾽ ὅσον καὶ ἡ ἕνωσις ἐν ἐκείνοις ἡ ἐπικρατεστέρα τῆς διακρίσεως. Οὐ γὰρ ὥσπερ καὶ τὸ ὅλον ἓν καὶ ἕκαστον τῶν τριῶν ἕν, ὅπερ ἐστὶν ἡ ἕνωσις, οὕτως ἀντιστρέφει καὶ ἡ διάκρισις, ἵνα καὶ τὸ

*) Ἰωάν. ϛ΄. 33, 35.

**) Ἰωάν. ϛ΄. 63.

ὅλον ἢ τρία καὶ ἕκαστον τρία· αὐτὸ γάρ ἐστιν ἐκεῖνο μόνον, ὅπερ ἐστὶν ἕκαστον τῶν τριῶν, τὸ μὲν Πατήρ, τὸ δὲ Υἱός, τὸ δὲ Πνεῦμα. Καὶ εἰ τρία ταῖς ὑποστάσεσιν, ἀλλὰ τῇ φύσει Θεὸς εἷς τὰ τρία. Τούτων δὲ κατὰ τὴν μίαν φύσιν μία καὶ δύναμις καὶ ἐνέργεια, καὶ θέλημα ἕν· οὐκοῦν καὶ ὁ ἁγιασμὸς εἷς. Ἀλλ᾽ ὁ κοινὸς οὗτος δογματιστὴς οὐ τὸν ἁγιασμὸν μόνον, ὅς ἐστιν ἐνέργεια κοινὴ τῶν τριῶν, ἀλλὰ καὶ τὴν καταλλαγήν, ἣ θέλησίς ἐστι τῶν τριῶν, διχάζει, ταύτην αἰτίαν ἀποδιδοὺς τοῦ δεῖσθαι τὴν ἡγιασμένην καὶ τετελειωμένην σάρκα τοῦ δευτέρου ἁγιασμοῦ καὶ τῆς δι᾽ αὐτοῦ τελειώσεως, τὸ δεῖν, τοῦ Υἱοῦ πρότερον καταλλαγέντος ἡμῖν διὰ τῆς σαρκώσεως, καὶ τὸν Πατέρα μετὰ τοσοῦτον χρόνον, ὅσος ὁ τῆς ὅλης οἰκονομίας, λαβόντα τι παρ᾽ ἡμῶν καταλλαγῆναι καὶ μὴ δῶρον, ἀλλ᾽ ἀμοιβὴν ἡμῖν τὴν υἱοθεσίαν ἀντιχαρίσασθαι. εἶναι δὲ τὸ λῆμμα τὸ τοῦ Υἱοῦ αἷμα· ὡς ἄρα τοῦ Πατρὸς καταλλαττομένῳ πρότερον τῷ Υἱῷ μὴ συνευδοκήσαντος μηδὲ συγκαταλλαγέντος, πρὶν ἢ καὶ αὐτόν τι, ὥσπερ τὸν Υἱὸν καὶ τὸ λῆμμα, κοινώσασθαι. Πόσας ἀτοπίας ἐπὶ τὸ αὐτὸ συνάγων ὁ σοφὸς οὗτος καὶ ὀξὺ βλέπειν δοκῶν εἰς τὰ τῶν ἄλλων παρολισθήματα, ἑαυτὸν λανθάνων οὐ συνιεῖ. Ὁ δύο φυσικὰς ἐνεργείας Πατρὸς καὶ Υἱοῦ καὶ θελήματα δύο λέγων, καὶ δύο πάντως φύσεις αὐτῶν εἰπεῖν ἀναγκάζεται. Ὡς γὰρ κατὰ τὴν μίαν φύσιν μίαν καὶ τὴν ἐνέργειαν καὶ τὴν θέλησιν τῆς Τριάδος ὁμολογεῖν ὁ τῆς ὀρθοδοξίας ἀπαιτεῖ λόγος,

НБ ОНУ імені І.І. Мечникова

οὕτως ἔμπαλιν τῷ διαιροῦντι τὴν μίαν ἐνέργειαν καὶ τὴν θέλησιν, τὸν ἁγιασμὸν λέγω καὶ τὴν καταλλαγήν, ἀνάγκη καὶ τὰς φύσεις συνδιαιρεῖν. Ὁ τὸν ἐκ τῆς ἑνώσεως τοῦ Λόγου καὶ τῆς σαρκὸς ἁγιασμὸν ἐνδεᾶ ποιῶν τοῦ διὰ τῆς πρὸς τὸν Πατέρα προσαγωγῆς, εἰς αὐτὸν ἄντικρυς τὸν Υἱὸν ἀναφέρει τὸ ἐνδεὲς καὶ οὕτως αὐτὸν ἐλάττονα ποιεῖ τοῦ Πατρός· ὁ τὸν Πατέρα λαβεῖν τι παρ᾽ ἡμῶν χρῆναι λέγων καὶ πρὶν λαβεῖν μὴ καταλλατόμενον, οὐ δωροληψίας ἧττω μόνον, ἀλλὰ καὶ ἄλλως ἐμπαθῆ τοῦτον εἶναι νομίζει· ὁ καὶ λαβεῖν αὐτὸν τὸ τοῦ Υἱοῦ αἷμα δοξάζων καὶ τὸν Υἱὸν τὴν σάρκα καὶ οὕτω καταλλαγῆναι, καινοτέρας ἐστὶν αἱρέσεως εὑρετής· ὥσπερ τὸν Χριστὸν ἐκ δύο φύσεων θεότητος καὶ ἀνθρωπότητος, οὕτω καὶ τὸν Πατέρα συντιθεὶς ἐκ θεότητος καὶ οὗπερ εἴληφεν αἵματος· ἵνα καὶ ὅπερ εἶπεν, Ἔθος εἶναι τοῖς καταλλαττομένοις λαμβάνειν τι παρ᾽ ἀλλήλων, ἐπίσης ἐπ᾽ ἀμφοῖν φυλαχθῇ. Ἐῶ τἆλλα, πλὴν ἀλλὰ κἀκεῖνο μὴ παροπτέον τοῦ σοφοῦ τὸ ἀγνόημα, ὅτι προθέμενος εἰπεῖν τι περὶ καταλλαγῆς τὸ τῆς ἀνταλλαγῆς ἴδιον ἐκ καταλλαγῆς ἀδιαφόρως παρέλαβεν εἰπών· Ἔθος εἶναι τοῖς καταλλαττομένοις λαμβάνειν τι παρ᾽ ἀλλήλων· ὅπερ οὐ τῶν καταλλαττομένων, ἀλλὰ τῶν ἀνταλλαττομένων, ὡς δηλοῖ καὶ τὸ ὄνομα. Ἐπεὶ τότε μάλιστα καθαρῶς τινες καταλλάττονται, ὅτε χωρὶς δωροληψίας εἰρήνην ἀνθαιροῦνται μάχης, οὐ κἂν τι διδόντες ἀλλήλοις, ἀλλὰ μᾶλλον συγχωροῦντες. Διὸ καὶ ὁ μεσιτεύσας ἐπὶ τῇ πρὸς ἑαυτὸν καὶ τὸν Πατέρα

НБ ОНУ імені І.І. Мечникова

καταλλαγῇ, οὐκ αὐτός τι πρότερον λαβὼν παρ' ἡμῶν, οὕτως ἡμῖν κατηλλάγη· ἢ τί ἔλαβε; τὴν σάρκα φησίν· ἀλλ' οὐ τοῦτο τὸ τῆς καταλλαγῆς αἴτιον, ἀλλ' ἡ καταλλαγὴ τούτου. Αἴτιον δὲ τῆς καταλλαγῆς ἡ θεία χρηστότης, ἡ φιλανθρωπία, ὁ πολὺς ἔλεος, ἡ ἄπειρος ἀγαθότης, ταῦτα τὰ τῆς καταλλαγῆς αἴτια. Διὰ ταῦτα εὐδόκησεν ὁ Πατήρ, συνήργησε τὸ Πνεῦμα καὶ ὁ Υἱὸς ἐνήργησε τὴν καταλλαγήν. Ἡ δὲ καταλλαγὴ τῆς ὅλης οἰκονομίας αἰτία τοῦ παχυνθῆναι τὸν Λόγον, τοῦ κενωθῆναι τὸν ὑπερπλήρη, τοῦ τὸν ὑπερούσιον οὐσιωθῆναι, τοῦ τὸν ἀσώματον σαρκωθῆναι, τοῦ ταπεινωθῆναι μέχρι καὶ δούλου μορφῆς, μέχρι καὶ θανάτου, θανάτου δὲ σταυροῦ. Ταῦτα οὐκ ἔστι λαβεῖν, οὐκ ἀνταλλάξαι, ἀλλὰ χαρίσασθαι καὶ ἀφεῖναι καὶ συγχωρῆσαι κατὰ τὸ βούλημα τῆς καταλλαγῆς. Ἐν τούτοις οὐδὲν μέσον τῆς τοῦ Υἱοῦ καταλλαγῆς καὶ τῆς τοῦ Πατρός· οὐ τόπος διιστῶν τούτους ἀπ' ἀλλήλων· οὐ χρόνος ἀφορίζων ἑκατέρῳ τὸ πρότερον καὶ τὸ ὕστερον· οὐ θελημάτων, οὐκ ἐνεργημάτων διαφορά, καθ' ἣν ἂν καὶ διαιρεθήσονται· πλὴν εἰ μὴ τὰ ἀνθρώπινα τοῦ Χριστοῦ παραβάλλειν θέλεις τοῖς θείοις ἀκαίρως. Νῦν γὰρ οὐ περὶ ἐκείνων ὁ λόγος, ἀλλὰ περὶ τῶν θείων θελημάτων τοῦ Χριστοῦ καὶ ἐνεργημάτων, ὧν καὶ τὴν καταλλαγὴν καὶ τὸν ἁγιασμὸν ὁ λόγος ἔδειξεν. Οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, φησὶν ὁ Χριστὸς πρὸ τοῦ πάθους, ὥστε τὸν υἱὸν αὐτοῦ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ

НБ ОНУ імені І.І. Мечникова

ἀπόληται, ἀλλ᾿ ἔχῃ ζωὴν αἰώνιον*). Εἰ πρὶν ἢ τὸ αἷμα λαβεῖν ὁ Πατὴρ οὐ κατήλλακτο, πῶς πρὸ τῆς καταλλαγῆς τὸν κόσμον ἠγάπησε; καὶ οὕτως ἠγάπησεν, ὥς καὶ τὸν υἱὸν ὑπὲρ αὐτοῦ δοῦναι τὸν μονογενῆ, τὸν ἀγαπητόν; πῶς πρὸ τοῦ λαβεῖν τὸ τῆς καταλλαγῆς αἴτιον αἷμα κατήλλακται; ἢ κατήλλακται μὲν πρῶτον, ὡς οἶδεν αὐτός, ὡς ἐδικαίωσε φιλανθρώπως ἐν ἀφέσει ἁμαρτιῶν ἡμῶν, κατὰ τὸν μέγαν εἰπεῖν Ζαχαρίαν, διὰ σπλάγχνα ἐλέους αὐτοῦ**)· εἶθ᾿ οὕτως ἀγαπήσας δέδωκεν ὑπὲρ ἡμῶν τὸν υἱόν, καὶ δι᾿ αὐτοῦ τὴν σωτηρίαν ἡμῶν ᾠκονόμησεν· οὔκουν τὸ σωτήριον αἷμα τῆς τοῦ Πατρὸς μεθ᾿ ἡμῶν καταλλαγῆς αἴτιον, ἀλλ᾿ ἡ καταλλαγὴ μᾶλλον αἰτία τοῦ αἵματος· τὸ δὲ λύτρον ἡμῶν τῆς αἰχμαλωσίας καὶ τῆς ἁμαρτίας καθάρσιον δέδοται· καθὰ καὶ ἡμεῖς ἀντάλλαγμα τοῦ Χριστοῦ κατὰ τὸν θεῖον Δαβίδ, Μνήσθητι Κύριε τοῦ ὀνειδισμοῦ σου, λέγοντα, οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ σου***). Μᾶλλον οὖν ἀνταλλαγῆς τὸ θεῖον αἷμα ῥητέον αἴτιον, καταλλαγῆς δὲ τὴν μεσιτείαν Χριστοῦ. αὐτὸν δὲ τὸν Χριστὸν μάλιστα συνελόντα πάντα, καὶ καταλλαγήν, ὡς εἰρήνην. Αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν, φησιν ὁ Ἀπόστολος †)· καὶ καταλλάκτην, εἴτουν καταλλαγῆς αἴτιον, ὡς εἰρηνοποιόν· καὶ

---

*) Ἰωάν. γ΄. 16.
**) Λουκ. α΄. 77.
***) Ψαλμ. πη΄. 50.
†) Ἐφεσ. β΄. 14.

καταλλαττόμενον, ὡς ἄμφω ὄντα Θεὸν καὶ ἄνθρωπον· ταῦτα γὰρ τὰ καταλλαττόμενα· καὶ ὡς ἱερέα, προσφέροντα, καὶ ὡς αἷμα καὶ σάρκα, προσφερόμενον καὶ θυόμενον, καὶ ὡς Θεόν, προσδεχόμενον μετὰ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος τὸ προσαγόμενον ἱερεῖον, τὸ καὶ παρ' αὐτοῦ δοθὲν τῆς ἡμῶν αἰχμαλώτου φύσεως ἀντάλλαγμα ἀξιόχρεων. Οὗτος ὁ ἀσφαλὴς καὶ παντάπασιν ἀνεπίληπτος τῆς εὐσεβείας ὅρος καὶ λόγος. Τοῦτο τὸ μέγα τῆς ὑπὲρ ἡμῶν θείας οἰκονομίας μυστήριον, Θεὸς κόσμον ὅλον τὸν καθ' ἡμᾶς ἑαυτῷ καταλλάττων. Ὁ δὲ καίτοι τοσούτοις ἔνοχος ὢν ἀτοπήμασι πάλιν διαπορεῖ. „Πῶς οὖν, λέγων, οὐκ ἐπιεικῶς ἐστιν ἄτοπον ταύτην προσενηνέχθαι τὴν θυσίαν λέγειν τῷ Θεῷ λόγῳ; Τίνος γὰρ ἡμῖν πρὸς τοῦτον ἔδει καταλλαγῆς, ὃς ἐξ αὐτῆς ἡμῖν κατήλλακται τῆς ἑνώσεως; Πῶς δὲ οὐκ ἀνόητον λέγειν διὰ τῆς θυσίας ταύτης ἑαυτῷ καταλλάττεσθαι;“ Ἐρωτᾷς, ἢ ἀπορεῖς; „Πῶς οὐκ ἄτοπον τὸ τὴν θυσίαν λέγειν προσενηνέχθαι τῷ Θεῷ λόγῳ;“ Οὕτως οὐκ ἄτοπον, ὥσπερ οὐδὲ τὸ λέγειν αὐτὴν ταύτην τὴν θυσίαν προσενηνέχθαι τῷ Θεῷ καὶ Πατρί. Εἰ γὰρ ᾗ Θεὸς καὶ οὐχ ᾗ Πατὴρ ὁ Πατὴρ ταύτην προσήκατο· οὐ γὰρ τέρπεται πατὴρ υἱοῦ αἵματι· οὐδὲ τὸν υἱὸν ἄτοπον ᾗ Θεὸν λέγειν ταύτην προσδέξασθαι· εἰ μὴ δύο βούλει λέγειν Θεούς· τάχα καὶ τὸν τρίτον τούτοις προσαριθμεῖν τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα κατὰ τὴν τῶν λεγομένων τριθεϊτῶν αἵρεσιν. καὶ ὁπότε μή τινος πρὸς τὸν Υἱὸν ἡμῖν

ἔδει καταλλαγῆς, οὐδὲ πρὸς τὸν Πατέρα τηνικαῦτα, οὐδὲ πρὸς τὸ Πνεῦμα· ὅτε δὲ πρὸς ἐκεῖνα, τότε καὶ πρὸς τοῦτον· ἀμέριστος γὰρ ὁ Θεός· καὶ εἷς Θεὸς ἡ Τριάς· καὶ οὐ τὸ μὲν τοῦ ἑνὸς Θεοῦ κατηλλάχθαι, τὸ δὲ μὴ κατηλλάχθαι θέμις εἰπεῖν ποτε. Οὔκουν οὐδὲ τὸν Υἱὸν μόνον ἰδίως, οὐδ' ᾗ Υἱόν, ἀλλ' ᾗ Θεὸν καὶ κοινῶς μετὰ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος τὴν παρ' ἑαυτοῦ θυσίαν προσδέχεσθαι λέγομεν, καὶ οὕτως ἡμῖν ἐν ἑαυτῷ καταλλάττεσθαι, τὸ παρ' ἑαυτοῦ προστιθέντες, ὡς τοῦ αὐτοῦ καὶ Υἱοῦ καὶ ἀνθρώπου λοιπὸν χρηματίζοντος. Ὅθεν οὐχ ἡμῶν τὸ ἀνόητον, ἀλλὰ σοῦ μᾶλλον κατηγορεῖν δίκαιον· ὅτι μὴ διαστέλλων τὰς τοῦ ἑνὸς Υἱοῦ φύσεις, καθάπερ ἡμεῖς καὶ πρὸ ἡμῶν ἡ μεγάλη τετάρτη Σύνοδος, αὐτὸν ἑαυτῷ κατ' ἄλλο καὶ ἄλλο φῂς [καὶ αὐτὸν] *) καταλλάττεσθαι. Ἢ οὐδὲ σύ γε αὐτὸς ἑαυτῷ φαίης ἂν ποτε μάχεσθαι, ὅταν σοι τὸν τῆς σαρκὸς νόμον τῷ νόμῳ τοῦ πνεύματος ὁρᾷς ἀντιστρεφόμενον**) καὶ τὸ φρόνημα ἐναντιούμενον τῷ φρονήματι. Ἐπειδὰν δὲ ταῦτα συμβιβάσαι νουνεχῶς δυνηθῇς, καὶ ὑποτάσσεσθαι πείσῃς τὸ χεῖρον τῷ κρείττονι, τηνικαῦτα καὶ σὺ σαυτὸν ἑαυτῷ ἐρεῖς καταλλάττεσθαι· ὄντως ἂν ἀνόητος εἴης μὴ οὕτω τὰ κατὰ σεαυτὸν κρίνων. Σκόπει δέ σου καὶ τὸ καθ' ἑξῆς ἐπενθύμημα. Αἰτιασάμενος γὰρ ὡς ἀνόητον τὸ τὸν Υἱὸν λέγειν

---

*) Περιττὸν ἴσως τό, καὶ αὐτόν.

**) Γραπτ. ἴσως ἀντιστρατευόμενον.

НБ ОНУ імені І.І. Мечникова

αὐτὸν ἑαυτῷ διὰ τῆς θυσίας καταλλάττεσθαι, προστίθης καὶ ταῦτα τῷ αἰτιάματι. „Ἢ τὴν μὲν προσληφθεῖσαν ἐξ ἡμῶν φύσιν ἔχειν πρὸς ἡμᾶς οἰκείως, τὴν δὲ ἑνωθεῖσαν αὐτῇ θεότητα δεῖσθαι τῆς πρὸς ἡμᾶς διὰ θυσίας καταλλαγῆς· ἢ, κατὰ Παῦλον εἰπεῖν, μεμέρισται ὁ Χριστός, ὡς εἶναι τὸ μὲν αὐτῷ *) φίλον, τὸ δὲ ἀντίθετον;“ Σύνες τί λέγεις σοφώτατε. Τί ἀποφαίνῃ κατὰ σαυτοῦ; Τὸ μὴ διαιρεῖν τὰς δύο τοῦ Χριστοῦ φύσεις, ὡς τῇ μὲν νέμειν τὰ θεοπρεπῆ προτερήματα, τῇ δὲ τὰ καθ᾽ αὐτὴν ἐλαττώματα, ἀλλὰ τοὺς οὕτω διαιροῦντας, καὶ τὸν Χριστὸν συνδιαιρεῖν ἀποφαίνεσθαι, τῶν συγχυτικῶν ἢ καὶ φαντασιαστῶν ἐστιν αἵρεσις, οἳ τὴν τετάρτην οἰκουμενικὴν ἀθετοῦσι Σύνοδον καὶ τὰς μετ᾽ αὐτὴν ἀκολούθους αὐτῇ. Σεβῆροι τὴν ἀπόνοιαν ταύτην νοσοῦσι καὶ Εὐτυχεῖς καὶ Διόσκοροι καὶ ὅσος σὺν αὐτοῖς αἱρετικὸς ἑσμὸς παρὰ τῶν ἱερῶν Συνόδων ὑπεβλήθη τῷ ἀναθέματι. Οὔμενουν οὐδὲ τὸ μεμέρισται ὁ Χριστὸς κατὰ τῶν τὰς φύσεις τοῦ Χριστοῦ διαιρούντων τῷ Ἀποστόλῳ προφέρεται κατὰ τὴν σὴν παρανόησιν καὶ παράχρησιν, ἀλλὰ κατὰ τῶν ἀπ᾽ ἀλλήλων διασχιζόντων καὶ τοὺς ἕνα Χριστὸν κηρύσσοντας Ἀποστόλους καὶ διδασκάλους αὐτῶν ἄλλων ἄλλους ἰδιουμένων, ἐν τῷ λέγειν, Ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ **)· καὶ οὕτω, τό γε εἰς αὐτοὺς ἧκον,

---

*) Ἐν τῷ χειρογρ. αὐτοῦ.

**) Κορινθ. Α΄. α΄. 12.

διαιρούντων τὸ Χριστοῦ κήρυγμα καὶ Χριστὸν αὐτὸν μεριζόντων καὶ τεμνόντων. Σὺ δὲ πῶς τοῦτο προφέρεις κατὰ τῶν ἕνα καὶ τὸν αὐτὸν Χριστὸν τηρούντων ἐν δυσὶ ταῖς συνελθούσαις εἰς μίαν ὑπόστασιν φύσεσι, καὶ τῇ μὲν προσφέρειν τε καὶ προσφέρεσθαι, τῇ δὲ προσδέχεσθαι λεγόντων; οὕτω δὲ καὶ καταλλάττεσθαι αὐτὸν ἑαυτῷ, εἰ μὴ προφανῶς τὰς δύο φύσεις ἀρνῇ· καὶ ἢ συγχεῖς ταύτας μετὰ τὴν ἕνωσιν ἢ τὴν μίαν τελείως ἐκβάλλεις, φαντασίαν νομίζων τὴν ἀληθινὴν ἐνανθρώπησιν. Εὐκαιρότερον δ' ἂν ῥηθείη πρός σε, μεμέρισται ἡ ἐν Πατρὶ καὶ Υἱῷ πρὸς δὲ καὶ Πνεύματι μία θεότης, ὡς εἶναι τὸ μὲν αὐτῆς φίλον ἡμῖν, τὸ δὲ ἀντίθετον; Ὡς γὰρ μία ὑπόστασις ὁ Χριστός, οὕτως εἷς Θεὸς ἡ Τριάς, εἰ καὶ ἔμπαλιν ὁ μὲν ταῖς φύσεσιν, ἡ δὲ ταῖς ὑποστάσεσι διαιρεῖται. Οὕτω δὲ πανταχόθεν αὐτὸς τὰ τῶν αἱρετικῶν φρονεῖν ἁλισκόμενος, καὶ πάλιν πρὸς τὴν συνήθη σοι καταφεύγεις συκοφαντίαν καὶ λέγειν φῂς τὸν ἀντίθετον, ὡς „Εἴπερ τὸ τῷ Πατρὶ προσαγόμενον διὰ τοῦ Θεοῦ Λόγου προσάγεται, Οὐδείς, γάρ φησιν, ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ*)· πῶς ἐνῆν προσενηνέχθαι τὴν θυσίαν ταύτην, μὴ πρότερον τῇ τοῦ μονογενοῦς προσενεχθεῖσαν θεότητι;“ Εἶθ' ὡς πρὸς σαθρὰν ἐπίτηδες οὕτω σοι πλασθεῖσαν ἀντίθεσιν, ἵνα δόξῃς γενναιότερον κειμένῳ τῷ ἀντιπάλῳ ἐπιπηδῶν, ἀντεπάγεις. „Οὐχ ἡ τοῦ

*) Ἰωάν. ιδ'. 6

НБ ОНУ імені І.І. Мечникова

*Λόγου θεότης, ᾧ οὗτος, ἐν ταῖς πρὸς τὸν Πατέρα προσαγωγαῖς ἐμεσίτευσεν, ἀλλ' αὐτὸς ὁ θεάνθρωπος Λόγος, χρηματίσας κατὰ την προσληφθεῖσαν φύσιν ἀρχιερεύς, καὶ τότε τὸ οἰκεῖον αἷμα προσαγαγών, καὶ νῦν τοὺς σωζομένους δι' αὐτοῦ τῷ Πατρὶ προσάγων, ἵνα θεώσῃ τῇ χάριτι." Ἐν τούτοις τὸ μὲν μὴ τὴν τοῦ Λόγου θεότητα μεσιτεύειν ἐν ταῖς πρὸς τὸν Πατέρα προσαγωγαῖς, ἀλλ' αὐτὸν τὸν θεάνθρωπον Λόγον, ὀρθῶς ἀποφαίνῃ· τὸν δὲ μεταξὺ χρόνον τῆς τε πρὸς τὸν Υἱὸν πρότερον καὶ τῆς μετὰ ταύτην πρὸς τὸν Πατέρα προσαγωγῆς πῶς παρατρέχεις; ἢ δῆλον ὅτι σὺ προΐστωρ τούτου τοῦ δόγματος, τοῦ χρόνον μέσον τοῦ Πατρὸς παρεισάγειν καὶ τοῦ Υἱοῦ, ὅπερ οὐκ ἄν τις ὀρθὰ φρονῶν παραδέξαιτο. Εἶτα δὲ καὶ διδάσκειν θέλεις, ἃ οὐκ ἐπίστασαι, τέσσαρά τινα περὶ τὴν ἐν τύπῳ θυσίαν θεωρούμενα καταλέγων, προσαγωγήν, καθιέρωσιν, ἀναγωγήν, ἀφοσίωσιν, ἅπερ ὀνόματα μέν εἰσι τέσσαρα, ἓν δέ τί ἐστι πάντως τὸ παρ' αὐτῶν σημαινόμενον, ἡ τοῦ προσαγομένου θυσία· ἀνήγετο γὰρ τοῦτο καθιερούμενον αὐτόθεν εἰς τὸ θυσιαστήριον καὶ ἃ μὲν*) ἀφωσιοῦτο· καὶ περιττὴ μὲν οὕτως ἡ περιττολογία τῶν ὀνομάτων. Εἶτα ἐπάγεις· „Ὥσπερ οὖν οὐκ ἔστι λέγειν προσάγεσθαι τὸν ἀφωσιωμένον ἤδη καὶ ἡνωμένον ἀμνόν, οὕτως οὐδὲ τὸ τοῦ Σωτῆρος αἷμα, τῆς αὐτοῦ θεότητος ἀχώριστον ὄν, ἔνεστι λέγειν τῇ κατάκρας ἡνωμένῃ προσάγεσθαι·"*

---

*) *ἴσως γραπτ. καὶ ἅμα.*

*διδάσκειν ἐπαγγειλάμενος ἐκ τῆς κατὰ τὸν τύπον θυσίας τὸ τὸν θεάνθρωπον Λόγον τὴν ἀληθινὴν θυσίαν, τὸ οἰκεῖον αἷμα, τῷ Πατρὶ μόνῳ προσενεγκεῖν, μὴ μέντοι καὶ ἑαυτῷ· τοῦτο μὲν οὐ ποιεῖς· εἴθ' ὡς ἐπιλελησμένος τῆς ὑποσχέσεως, εἴτε μὴν ὡς τὸν ἐντεῦθεν ἀναφαινόμενον ἔλεγχον προϊδόμενος καὶ φεύγων ἐπίτηδες· πρόδηλον γὰρ ὡς οὐδὲ ἡ τυπικὴ θυσία τῷ Πατρὶ προσάγεσθαι μόνῳ νενομοθέτητο, ἀλλ' ἁπλῶς τῷ Θεῷ τῷ τρισαγίῳ Κυρίῳ κατὰ τὴν ἐν Ἡσαΐᾳ σεραφικὴν ὑμνῳδίαν· ᾧ καὶ Δαβὶδ προσφέρειν τὰς θυσίας προτρέπεται, Ἐνέγκατε τῷ Κυρίῳ, λέγων, υἱοὶ Θεοῦ*)· ἐξ ἀναλογίας δὲ συνάγειν πειρᾷ, ὅτι καθάπερ οὐκ ἔστι λέγειν προσάγεσθαι τὸν ἀφωσιωμένον ἤδη καὶ ἡνωμένον, τὸν τυπικὸν ἐκεῖνον ἀμνόν, οὕτως οὐδὲ τὸ τοῦ Σωτῆρος αἷμα προσάγεσθαι λέγειν ἔνεστι τῇ κατάκρας ἡνωμένῃ θεότητι. Ἆρ' οὖν τὸ τυθέν, εἴτουν ἀφωσιωμένον ἤδη, κατὰ σὲ φάναι, τούτῳ καὶ ἥνωτο τῷ ᾧ τέθυτο; καὶ πῶς οὐκ ἄλογον τοῦτο λέγειν ἢ καὶ διανοεῖσθαι περὶ Θεοῦ, εἴτε τοῦ Πατρὸς μόνου, εἴτε καὶ τοῦ Υἱοῦ; Περὶ μὲν γὰρ δαιμόνων, μάλιστα τῶν ὑλαίων, εἰκότως ἂν λέγοιτο· χαίρειν γὰρ τούτους ταῖς ἐκ τῶν θυσιῶν κνίσαις φησὶν ὁ μέγας Βασίλειος· καθὸ καὶ τρέφεσθαι τὴν οὐσίαν αὐτῶν ἐκ τῶν ἀναδιδομένων ἐκεῖθεν ἀτμῶν καὶ ἄλλους ἄλλοις οἰκείως ἔχειν, οἷς καὶ μᾶλλον ἐφήδεσθαι· Θεῷ δὲ τῷ πάντῃ*

---

*) ψαλμ. κη'. 1.

ἀΰλῳ καὶ ἀσωμάτῳ, τῷ ἀναυξεῖ, τῷ ἀνενδεεῖ, τῷ ἀτρέπτῳ, τῷ ἀκηράτῳ, τῷ πλήρει, μᾶλλον δὲ ὑπερπλήρει, καθὸ καὶ πάντα πληροῦν αὐτὸς λέγεται, τούτῳ πῶς ἔνεστι λέγειν ἡνωμένον τὸ τεθυμένον, εἴτουν ἀφωσιωμένον, κατὰ τὸν σὸν ἄλογον λόγον; Ἤπου καὶ πρὸ τῆς τοῦ Λόγου ἐνανθρωπήσεως σεσωματῶσθαι φὴς αὐτὸς τὸν Θεόν, καθὸ καὶ τροφῆς δεῖσθαι καὶ τὰς θυσίας αἰτεῖν; Τίς ποτε τοιαύτην ἐρεσχελίαν ἠρεύξατο; Ἀλλὰ τοῦτο μὲν οὕτως ἄτοπον ὂν ἐάσθω. Ἴδωμεν δὲ λοιπὸν εἰ, ὡς περὶ τῆς ἐν τύπῳ θυσίας οὐκ ἔστιν εἰπεῖν τὸ καθωσιωμένον ἤδη καὶ τετελεσμένον, ὅπως ποτὲ ἔτι τελεῖσθαι, οὕτω καὶ περὶ τῆς ἀληθινῆς τοῦ αἵματος τοῦ Σωτῆρος, ὅπερ εἰ καὶ ἥνωται τῇ τούτου θεότητι κατὰ μίαν ὑπόστασιν, ὅμως οὔπω πρὸ τοῦ σταυροῦ τέθυτο, οὐκ ἔστιν εἰπεῖν τοῦτο προσάγεσθαι, εἰ μή πω προσῆκται, πῶς ἀπαγορεύεις τὴν τούτου προσαγωγήν; ἢ βούλει, κατὰ Πέτρον οὔπω τάχα συνιέντα τοῦ μυστηρίου τὴν δύναμιν, καὶ διὰ τοῦ εἰπεῖν, ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο*), τὸ πάθος ἀπαγορεύσαντα, καὶ αὐτὸς ἐπιτιμηθῆναι καί, ὕπαγε ὀπίσω μου σατανᾶ, παρὰ τοῦ Σωτῆρος ἀκοῦσαι; Ὁρᾷς ὅπως ἀγνοεῖς, ἃ διδάξειν ἐπήγγελσαι; ὅπως πάντα διαπίπτει σοι τὰ προβλήματα καὶ εἰς τοὐναντίον περιτρέπεται; Μᾶλλον γάρ ἐστι μὴ μόνον λέγειν, ἀλλὰ καὶ εὐχῆς ἀξιοῦν καὶ τότε καὶ νῦν. Τότε

---

*) Ματθ. ιϛ΄. 22.

μὲν τὴν ἐφάπαξ προσαγωγὴν τοῦ σωτηρίου αἵματος, ἥτις καὶ πρὸ καταβολῆς κόσμου προώριστο· νῦν δὲ τὸν διηνεκῆ τούτου καὶ δι᾽ αἰῶνος ἐμφανισμον εἰς το ἄνω θυσιαστήριον, ἵν᾽ ἔχωμεν δι᾽ αὐτοῦ τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν. Τὸ γὰρ πρὸς ἡμᾶς ἐφάπαξ γεγενημένον οὐ θέμις οὕτω χρονικῶς λέγειν καὶ τῷ Θεῷ ἐμφανισθῆναι, ὡς ἤδη γεγενημένον καὶ πεπαυμένον τοῦ ἐνεργεῖσθαί τε καὶ ἐνεργεῖν τὸ οἰκεῖον. Οὐδὲ γὰρ τὸ μὲν παρῆλθεν ἐκεῖ, καὶ οὐκέτι ἐστί· τὸ δὲ μέλλει, καὶ οὔπω ἐστί· τὸ δὲ ἐν τῷ νῦν γίνεσθαι παραρρέον ἔχει τὸ εἶναι· καὶ οὐδὲν μᾶλλόν ἐστιν ἢ οὐκ ἔστιν, ἀλλ᾽ ὁ αἰὼν ἀθρόα πάντα συλλαβὼν ἔχει. Εἰ καὶ προσῆχθαι τοίνυν ἐφάπαξ πρὸς αἴσθησιν λέγεται τὸ ὑπὲρ ἡμῶν θεῖον σφάγιον, ἀλλὰ καὶ διαιωνίως νοοῖτ᾽ ἂν εἰκότως καὶ λέγοιτο προσάγεσθαι τῷ Θεῷ ἐπὶ τὸ ἄνω θυσιαστήριον, καὶ οὕτως ἡμῖν καὶ τὴν αἰωνίαν βραβεύειν λύτρωσιν. Τί ἔτι; Οὐ τῇ φύσει φησὶ τοῦ Πατρός, τῇ δὲ ὑποστάσει τὸ θῦμα προσάγεσθαι, ὡς καὶ τὸν προσάγοντα προσάγειν ὑποστατικῶς, καὶ τὸν δεχόμενον ὑποστατικῶς ὑποδέχεσθαι· διό σοι καὶ διχῶς ἁμαρτάνειν δοκεῖν τὸν ἀντίδοξον, μερίζοντα μέν, τό γε εἰς αὐτὸν ἧκον, καὶ τὴν ἀμέριστον φύσιν, παρέχοντα δὲ καὶ ταῖς φύσεσι τὰ τῶν ὑποστάσεων ἰδιώματα. Καὶ μὴν αὐτὸς ἀπελήλεγξαι τὰ δύο ταυτὶ πλημμελῶν ἁμαρτήματα, τήν τε φύσιν ἀδιαφόρως ἀντὶ τῆς ὑποστάσεως λαμβάνων, καὶ τὴν ἀμέριστον φύσιν Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος

μερίζων καὶ ἀποτέμνων ἐν τῷ λέγειν μὴ τῷ Θεῷ, ἀλλὰ τῷ Πατρὶ μόνῳ τὸ θῦμα προσάγεσθαι, καὶ ἀποστερεῖν οὕτω τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τῆς ὡς Θεῷ ὀφειλομένης ἑκατέρῳ τιμῆς· οὐ μὴν οὐδὲ ὑποστατικῶς ἢ ὁ προσάγων προσάγει ἢ ὁ δεχόμενος ὑποδέχεται. Εἰ γὰρ καὶ πρόσωπον ἓν ὁ τὴν θυσίαν προσάγων Χριστός, ἀλλ' οὐχὶ καὶ ὑπὲρ ἑνὸς προσώπου, ἀλλ' ὑπὲρ ὅλης καὶ ὡς ἐξ ὅλης προσάγει τῆς ἀνθρωπότητος, ἣν καὶ ὅλην προσειληφέναι πιστεύεται, ἵνα καὶ ὅλην σώσῃ· οὔτε μὴν ἑνὶ τῆς Τριάδος προσώπῳ, ἀλλ' ὅλῃ τῇ τριαδικῇ προσάγει θεότητι καὶ δέχεται ταύτην καὶ αὐτὸς μετὰ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος. Εἰπὲ γὰρ πρὸς αὐτοῦ τοῦ Θεοῦ· τίνι προσεκρούσαμεν ἁμαρτήσαντες; Πότερον τῷ Πατρὶ μόνῳ ἢ ἁπλῶς τῷ Θεῷ; Τίνος παρέβημεν ἐντολήν; οὐχὶ τοῦ Θεοῦ; Τούτῳ τοίνυν καὶ τὴν ἀναιρέτιν τῆς ἁμαρτίας θυσίαν ὀφείλομεν· τοῦτον τιμῆσαι· τοῦτον δοξάσαι, ὃν διὰ τῆς παραβάσεως τῆς ἐντολῆς ἠτιμάσαμεν, τὸν ἐν Τριάδι ἕνα Θεόν. Τοῦτο γέγονε διὰ τῆς ὑπὲρ ἡμῶν προσαχθείσης θυσίας τοῦ ἀμνοῦ τοῦ Θεοῦ, κατὰ τὴν τοῦ Λόγου φωνήν, τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου· διὸ καὶ πρὸς τὸ πάθος ἐρχόμενος ὁ Κύριος ἔλεγε· Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ*)· ὡς ἂν εἰ ἔλεγε, νῦν περιαιρεῖται τὸ τῆς ἁμαρτίας κατάκριμα· νῦν ἡ ἐκ τῆς παραβάσεως ἀτιμία εἰς

*) Ἰωάν. ιγ'. 31.

δόξαν τῷ Θεῷ ἀντιστρέφεται· νῦν ἄνθρωπος, (τοῦτο γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου) ἡ διὰ τῆς παραβάσεως τὸν Θεὸν ἀτιμάσασα φύσις, κἀντεῦθεν αὐτὴ μᾶλλον ἀτιμασθεῖσα, τῆς ἀτιμίας ἀναιρουμένης, διὰ τῆς νῦν τελουμένης θυσίας δοξάζεται· ὁ δ᾽ αὐτὸς υἱὸς τοῦ ἀνθρώπου καὶ Θεὸς ὢν δοξάζεται ἐν αὐτῷ, ὡς Θεὸς τὴν θυσίαν δεχόμενος οὐ μόνος, ἀλλὰ μετὰ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος· οὐ γὰρ εἶπεν ὁ υἱὸς τοῦ Θεοῦ, οὐδέ, κατὰ σέ, ὁ πατήρ μου μόνος, ἀλλ᾽ ἁπλῶς ὁ Θεός. Τούτοις συνῳδὰ καὶ τὰ ἐπαγόμενα. Εἰ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ, καὶ αὐτὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ *)· ὡς δηλοῦσθαι διὰ πάντων ἕνα μὲν εἶναι κατὰ τὴν ὑπόστασιν τὸν δοξάζοντά τε καὶ δοξαζόμενον, διπλοῦν δὲ κατὰ τὰς φύσεις, ὅλον τὸν καθ᾽ αὐτὸν ἄνθρωπον ὅλῳ προσάγοντα τῷ Θεῷ· ἐπεὶ καὶ πᾶσα θυσία κατὰ τὸν νόμον οὐ τῷδε τινὶ τῶν προσώπων, ἀλλ᾽ ἁπλῶς τῷ Θεῷ προσάγεσθαι νενομοθέτητο. Οἷος δέ σοι καὶ ὁ λοιπὸς καὶ τελευταῖος παραλογισμὸς διαπλέκεται· ὡς γάρ δή τινος μὴ τὸν Λόγον, ἀλλὰ τὴν τοῦ Λόγου θεότητα σεσαρκῶσθαι λέγοντος· ἢ μή ποτε καὶ ταύτην αὐτὸς οἴκοθεν λαμβάνεις τὴν πρότασιν καί, ταύτῃ τὴν ὀρθῶς προφερομένην συνάπτων, ὅτι ἡ αὐτὴ θεότης κοινή ἐστι καὶ τῷ Πατρὶ καὶ τῷ Πνεύματι, ἐκ τούτων συμπεραίνεις ἀδύνατον, τὸ ἀνάγκη καὶ τὸν Πατέρα καὶ τὸ Πνεῦμα σεσαρκῶσθαι λέγειν. Ὅτι

---

*) Ἰωάν. ιγ΄. 32.

*μὲν οὖν ἡ θεότης μία καὶ ἡ αὐτὴ Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος, οὐδεὶς τῶν ὀρθοδόξων ἀντιδοξεῖ· ὅτι δὲ καὶ ἡ θεότης τοῦ Λόγου σεσάρκωται, νῦν πρώτως ἀκούω σου λέγοντος. Ἐγὼ δ' οὐ συντίθημι, εἴτε σὸς οὗτος ὁ λόγος, εἴθ' ἑτέρου τινός, τὸν Λόγον σάρκα γενέσθαι παρὰ τοῦ θεολόγου μαθών, καὶ Θεὸν εἶναι τὸν Λόγον, οὐχὶ θεότητα, διαφέρειν δὲ Θεὸν εἰπεῖν ἢ θεότητα, καὶ παρὰ τῆς κοινῆς ἐννοίας δεδιδαγμένος· τὴν μὲν γὰρ εἶναι φύσιν εἴτουν ὕπαρξιν Θεοῦ τὴν θεότητα, Θεὸν δὲ φυσικὸν ὄνομα κοινὸν τῶν αἷς ἡ φύσις ἐνθεωρεῖται προσωπικῶν ὑποστάσεων· καὶ τὴν μὲν μίαν καὶ ἀδιαίρετον, τὸν δὲ κατὰ τὴν φύσιν μὲν ἀδιαίρετον, διαιρετὸν δὲ κατὰ τὰ πρόσωπα. Εἰ τοίνυν οὐ σὸς ὁ λόγος τὸ σεσαρκῶσθαι τὴν τοῦ Λόγου θεότητα, τοῦτό σοι καὶ μόνον τὴν ἀρχὴν ἀναστείλαντι· το τὸν Λόγον ἄλλο τι εἶναι παρὰ τὴν θεότητα τὴν ἐνθεωρουμένην αὐτῷ· καὶ τοῦτον [εἰ] πάντη καὶ σαρκωθῆναι καὶ σταυρωθῆναι κατὰ τὴν ἄνωθεν ἡμῶν πατροπαράδοτον ὁμολογίαν τῆς πίστεως, καὶ τἄλλα παθεῖν καὶ ἀποθανεῖν τῇ τῆς σαρκὸς φύσει, καὶ οὕτως αὐτὸν ὡς ἄνθρωπον παρ' ἑαυτοῦ ὡς ἀρχιερέως τῷ Θεῷ τυθῆναι, τῷ Πατρὶ καὶ ἑαυτῷ καὶ τῷ Πνεύματι, καὶ τῇ θεϊκῇ δυνάμει τριήμερον ἀναστῆναι καὶ ἀρχηγὸν τῆς ἡμῶν ἀναστάσεως καὶ παλινζωΐας γενέσθαι· ἤρκει πᾶσαν περιελεῖν ἀντιλογίαν τῷ, εἴ που τις ἦν, ἀντιδοξοῦντι· καὶ οὕτως οὔτ' ἂν αὐτὸς εἶχες, οὔθ' ἡμῖν παρεῖχες πράγματα καὶ πολυλογίας ἀφορμάς, ἀφ' ἧς οὐκ ἔστιν ἁμαρ-*

τίαν ἐκφεύξεσθαι τὸν μὴ πάντη θεόθεν φρουρούμενον. Τὰ μὲν δὴ τῆς ἀγωνίας ὧδε πεπαύσθω. Ὁρῶ γὰρ καὶ τὸν ἀνταγωνιστὴν πεπαυμένον ἤδη καὶ χαμαὶ κείμενον καὶ βοῦν ἐπὶ γλώττης, ὃ λέγεται, φέροντα, εἴθ᾽ ἑκόντα τὴν ἧτταν ὁμολογοῦντα εἴτε καὶ ἄκοντα, ὡς τῇ μεγαλοφωνίᾳ τῶν εὐαγγελικῶν τε καὶ ἀποστολικῶν καὶ πατρικῶν ἀντιῤῥήσεων (οὐδὲν γὰρ τῶν εἰρημένων ἡμέτερον) καταβροντηθέντα καὶ μετὰ τῆς ὅλης αἰσθήσεως καὶ τὸ λέγειν ἀφαιρεθέντα. Λοιπὸν δ᾽ ἂν εἴη πρὸς νόμον ἑορτῆς Θεῷ μὲν τῷ πάντων ἀγαθῶν καὶ δὴ τῆσδε τῆς ὑπὲρ εὐσεβείας νίκης δοτῆρι καὶ βραβευτῇ θύειν τὰ χαριστήρια, θυσίαν, προφητικῶς εἰπεῖν, αἰνέσεως καὶ ἀλαλαγμοῦ· θυσίαν ἀναίμακτον, λογικήν, ζῶσαν, ἁγίαν, εὐάρεστον, ἣν ὡς δρόσον Ἀερμὼν τὴν καταβαίνουσαν ἐπὶ τὰ ὄρη Σιὼν ἐνετείλατο Κύριος εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος*), ἣν ἐν τῷ ὑπερῴῳ πρῶτος ὁ μεθ᾽ ἡμῶν Θεὸς αὐτὸς ἑαυτῷ κατηρτίσατο, παρέδωκε δὲ καὶ τοῖς ἱεροῖς αὐτοῦ μύσταις εἰς τὸ διηνεκὲς ποιεῖν εἰς ἀνάμνησιν αὐτοῦ, περὶ ἧς καὶ ὁ παρὼν λόγος, ὡς ἐξόν, ἠγωνίσατο· τοὺς δὲ προηγωνισμένους συνοδικῶς καὶ νῦν ἤδη τὰ συνόδια ἑορτάσαντας εὐφημητηρίοις στέμμασι καταδήσασθαι, τοὺς ἱεροὺς προστάτας τῆς ἐκκλησίας, τοὺς ἑστῶτας ἐν οἴκῳ Κυρίου δούλους Κυρίου καὶ εὐλογοῦντας τὸν Κύριον, τοὺς ἐν ἀσφαλεῖ τῇ πίστει

*) Ψαλμ. ρλβ΄. 3.

НБ ОНУ імені І.І.Мечникова

τοὺς πόδας ἐρείδοντας καὶ μὴ ῥᾳδίως ἐνδιδόντας σαλεύεσθαι, τοὺς ἀγραυλοῦντας ἐπιστημόνως ποιμένας καὶ μελῳδοῦντας ἐναρμονίως τῆς πίστεως τὸ μυστήριον καὶ ἀσφαλῶς, ὡς εἴρηται, νυκτοφυλακοῦντας καὶ τὸν λύκον, τὸν κλέπτην, τὸν ἐπιθέτην, τὸν ἀφανῶς ἀεὶ τῇ ἐκκλησίᾳ ἐπιβουλεύοντα καὶ νυκτὸς τῷ θείῳ σπόρῳ τὰ παρ' ἑαυτοῦ ζιζάνια ἐπισπείροντα μετὰ τῶν φανερῶν ἀκολούθων αὐτοῦ καὶ ὑπασπιστῶν, γενναίως ἀποσοβοῦντας καὶ ἐκδιώκοντας· καὶ ὑπὲρ πάντας τὸν θεόθεν πᾶσιν ἡμῖν δεδομένον ἀνύστακτον φύλακα καὶ θεόστεπτον καὶ κράτιστον Αὐτοκράτορα, τὸν ἐν τῷ κρατεῖν πρώτως ἑαυτοῦ καὶ τὴν ὀρθὴν πίστιν κρατύνειν*) ὡς μάλιστα, οὕτως καὶ τὴν κοσμικὴν αὐτοκρατορίαν εὐσεβοφρόνως ἰθύνοντα, τὸν οὐδὲν ἧττον τῆς εὐσεβείας ἢ τῆς βασιλείας προεστῶτα καὶ προασπίζοντα· ὃς τῷ συντόνῳ τῆς ἐγρηγόρσεως τῶν ἀκοιμήτων μὲν ἀστέρων οὐδὲν ἀποδεῖ, ἁμιλλᾶσθαι δὲ καὶ τοῖς ἀσωμάτοις νόοις φιλονεικεῖ, νύκτας ὅλας ἴσα ταῖς ἡμέραις διατελῶν ἄγρυπνος ἐν τῷ τοῦ κοινοῦ φροντίζειν συμφέροντος· ὅς, οὕτως ἀεὶ διαγρηγορῶν, ἐπειδὴ καὶ τῆς ἤδη δεδηλωμένης κατὰ τῆς ἐκκλησίας ἐπιβουλῆς ᾔσθετο, καίτοι πλείσταις ὅσαις τρικυμίαις κοσμικῶν πραγμάτων περιαντλούμενος, πάσαις ἀγρίαις, μανικὸν οἷον ἐπαφριζούσαις καὶ δεινὸν ἅπαν ἀπει-

---

*) ἐν τῷ χειρογ. τὸν ἐν τῷ κράτει. πρώτως ἑαυτοῦ καὶ τὴν ὀρθὴν πίστιν κρατύνει.

НБ ОНУ імені І.І. Мечникова

λούσαις, πάντοθεν ἐπανισταμέναις, ἐκ θαλάσσης, ἐκ γῆς, ἐγγύθεν, πόρρωθεν, ἐξ οἰκείων, ἐξ ἀλλοτρίων, ἐκ περάτων ἄκρων, ἀνατολῆς, δύσεως, τῶν πέριξ· σὰ ταῦτα, δημιουργὲ πάσης κακίας διάβολε, ὄφι πονηρέ, σκολιέ, διάστροφε πρὸς πᾶσαν εὐθύτητα, πανουργεύματα, ὅπως ἄν, τούτοις ἐπικλιθεὶς ὁ ἀκλόνητος στύλος τῆς εὐσεβείας, ἐάσῃ ταύτην, οὕτως ἀπὸ σοῦ κλονουμένην, ἀστήρικτον· ὁ δὲ ἀκλινὴς ἑστώς, βεβηκώς, ὄρθιος, πάσας μὲν ἐκείνας τὰς κυματώδεις ἐπαναστάσεις σου, οἷά τις οἰακοστρόφος ἐμπειρότατος, περιδεξίως, ὡς ἐνῆν, διεκρούσατο καὶ τὴν κοσμικὴν ὁλκάδα τῷ τέως ἀκύμαντον διεσώσατο· αὐτὸς δ' ἑαυτὸν τῇ ἐκκλησίᾳ φέρων ἐφίστησι καὶ προηγουμένης σπουδῆς ἀξιοῖ τὸ ταύτης τὴν ζάλην εἰς γαλήνην μεταγαγεῖν. Ἔνθεντοι καὶ στρατὸν ἀξιόμαχον ἀθροίσας ἀνδρῶν ἱερῶν, οὓς ὁ λόγος φθάσας ἐδήλωσε, σὺν τούτοις τὸν πρὸς σὲ καὶ τοὺς σοὺς ὑπασπιστὰς συνίστησι πόλεμον καὶ καταστρέφει πᾶν τὸ ἀντίδοξον καὶ τὴν εὐσέβειαν κρατύνει καὶ τὴν ἐκκλησίαν στηρίζει καὶ τὴν νίκην ταύτῃ χαρίζεται καὶ στεφηφορεῖ κἀντεῦθεν ἀξίως ὁ τρισαριστεὺς τῆς ὀρθῆς πίστεως πρόμαχος καὶ τροπαιοῦχος ἀκαταμάχητος. Ἐντεῦθεν, εὖ οἶδα, καὶ θαρρῶν προλέγω, εἴ τί μοι καὶ προφητικοῦ μέτεστι πνεύματος, ὡς καὶ τὸν κύκλῳ συνεπιτεθειμένον κοσμικὸν πόλεμον κατὰ κράτος νικήσει καὶ πᾶν ὕψωμα βαρβαρικὸν καὶ θρασύστομον καὶ μέχρι καὶ νῦν ἐπηρμένον καταβαλεῖ καὶ καταποντώσει καὶ ἀφανίσει,

καὶ σὲ τὸν τούτων συσκευαστὴν τελείως ἐκνευρίσει καὶ καταστρέψει, καὶ ἡμῖν δώσει λαμπρότερον καὶ τρανότερον ᾆσαι τὸν ἐπινίκιον. Ναί, Χριστὲ βασιλεῦ Ἐμμανουήλ, τῷ χριστῷ σου βασιλεῖ (ἤδη δὲ καὶ τὸ τρίτον πλὴν τῆς πρώτης συλλαβῆς ὁμωνύμῳ σοι*)· καὶ τοῦτο πρὸς ἔνδειξιν τάχα τοῦ σὲ μόνον πάντων προέχειν ἐν αὐτῷ τὰς ἀρχὰς) ταῦθ᾽ οὕτω γένοιτο. Ταύτην ἐγὼ τὴν συνεισφορὰν ἑορταζούσῃ τῇ Συνόδῳ χαρίζομαι. Ἐν τούτοις ὑμνῶ τὸν τῆς νίκης πάροχον καὶ θριαμβεύω τὸν ἐναντίον. Οὕτω μεγαλύνω τὸν τὴν Σύνοδον συγκροτήσαντα βασιλέα καὶ συνασπίσαντα τῇ πίστει καὶ νικήσαντα καὶ τὰ τῆς νίκης ἔπαθλα παρὰ τοῦ νικοποιοῦ Θεοῦ κομισάμενον. Ἀλλὰ σύ, θειότατε βασιλεῦ, καὶ ἄλλως προφθάνεις ἔργῳ τὸν λόγον ἐπισφραγίζων μοι· ἵνα γὰρ δείξῃς, εἰδὼς ἀκριβῶς, ὡς ἐκ Θεοῦ σοι πάντοτε καὶ πανταχοῦ βραβεύεται τὸ νικᾶν, καὶ ταύτην αὐτῷ τὴν χάριν ἀντιχαρίζῃ, τὴν ὄντως βασιλικὴν δωρεάν, τὴν ἀτέλειαν τοῖς ἱεροθύταις αὐτοῦ δωρησάμενος. Ὢ τῆς μεγαλοψυχίας! Ὢ τῆς ἀπλήστου φιλοτιμίας! καθ᾽ ἣν καὶ Θεὸν προφθάνειν φιλονεικεῖς ἐν τῷ εὐεργετεῖν ἁμιλλώμενος· Καί μοι μὴ ἐνδοίης τῆς καλῆς ταύτης φιλονικίας**). Οὐ φθονεῖ τὸ θεῖον. Οὐκ ἀποστρέφεται τὸν προφθάσαντα τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει. Προφθάνεται μέν, ἀλλὰ καὶ Θεὸς

*) ἐν τῷ χειρογ. ὁμώνυμός σοι.

**) Γραπτ. ἴσως φιλονεικίας.

НБ ОНУ імені І.І. Мечникова

μεγας Κύριός ἐστι καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν, δυνατὸς πολλαπλασίως ἀμείβεσθαι τοὺς προφθάνοντας· τί μὲν ἄν τις καὶ δοίη προφθάσας, ὃ μὴ παρ᾽ αὐτοῦ ἔχει; καὶ ὅμως τὰ παρ᾽ ἑαυτοῦ λαμβάνων ἀντιδίδωσιν ἑκατονταπλασίονα, προστιθεὶς καὶ ζωὴν τὴν αἰώνιον. Προστίθει τοι γάρ τοι*) καὶ σὺ τὰ λείποντα καὶ τέλειον τὸ θῦμά σου πρόσφερε καὶ πῖον τὸ ὁλοκαύτωμα, καὶ θαρρῶν λέγω, καὶ προφητικῶς ἐπεύχομαί τε καὶ ἀποφαίνομαι, προσθείη Κύριος ἐπὶ σέ, ἐπὶ σὲ καὶ ἐπὶ τοὺς υἱούς σου**), καθὰ καὶ ἐπὶ τὰς θυγατέρας σου. Ταῦτά μοι προλέγειν δίδωσι τὸ Πνεῦμα τὸ ἅγιον, ὅτι εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν, ὃς καὶ τὸ κράτος τῆς βασιλείας ὑμῶν φυλάξειε πολυχρόνιον.

*Τοῦ αὐτοῦ τὰ λείποντα περὶ τῆς θείας ἱερουργίας, καὶ τοῦ πῶς ὁ Χριστὸς λέγεται προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος.*

Εἶτα σὺ τί λέγεις ὁ δεινὸς τῆς θείας θυσίας ἐξεταστής; ὁ τοὺς θεοκρίτους ἀνακρίνων ἱερομύστας, ὁ τὸν ἕνα καὶ μόνον καὶ πρῶτον πάντων ἱεροτελεστήν, καὶ μέντοι πολλὰ θεοπρεπῶς τε καὶ ἀνθρωποπρεπῶς προσαγορευόμενον ἄλλα τε καὶ ταῦτα τὰ τέτταρα, προσφέροντα, προσφερόμενον,

---

*) οὕτω κεῖται ἐν τῷ χειρογράφῳ.

**) Ψαλμ. ριγ'. 23.

ΗΒΟΗΥ Ιμεηι Ι.Μεμικοεα

προσδεχόμενον, καὶ διαδιδόμενον, τοῦτον ἢ διχοτομῶν Νεστοριανῶς ἢ συγχέων κατ᾽ Εὐτυχῆ δυστυχῶς, καὶ κατὰ τῆς σαυτοῦ κεφαλῆς ἑκάτερον. Τὸ γὰρ ἄλλον λέγειν καὶ ἄλλον, τὸν μὲν ὡς ἄνθρωπον προσφερόμενον, τὸν Χριστὸν δηλαδή, τὸν δὲ ὡς Θεὸν προσδεχόμενον, τὸν Πατέρα, τί ἄλλο ἢ Νεστοριανὴ πάντως ἐστὶ φρενοβλάβεια, τὸν ἕνα Χριστὸν προσωπικῶς διαιροῦσα καὶ τῆς θείας δόξης ὡς ψιλὸν ἄνθρωπον ἀποστεροῦσα; καὶ πάλιν τὸ μὴ καταλλήλως ταῖς φύσεσι τὸ ἑκατέρας οἰκεῖον ὁμολογεῖν, ὡς τῇ μὲν θύεσθαι, τῇ δὲ τὸ θῦμα προσίεσθαι, ἀλλ᾽ ἁπλῶς ἕνα καὶ παντάπασιν ἀδιαίρετον τὸν Χριστὸν ἀποφαίνεσθαι, ὅλον αὐτὸν ἑαυτὸν τῷ Πατρὶ προσφέροντα, μὴ μέντοι καὶ προσδεχόμενον, τῆς Εὐτυχοῦς ἄντικρυς τοῦ δυστυχοῦς τῷ ὄντι συγχύσεως ἤρτηται, μετὰ τοῦ καὶ τὸν μονογενῆ τῆς πατρικῆς καὶ οὕτως οὐσίας Ἀρειανικῶς ἀποδιαιρεῖν, ὧν οὐκ οἶδα ποτέραν μᾶλλον ἂν αὐτὸς αἵρεσιν αἱρήσῃ, εἴ γε τέως μὴ πάσαις καθυποβάλλῃ. Φέρε γὰρ ἄνωθεν, εἰ δοκεῖ, τὸν λόγον ἀναλαβόντες, ἀκριβέστερον συμπαρέδρῳ τῇ ἀληθείᾳ διασκοπήσωμεν, τί βούλεται τοῖς θείοις ἱερομύσταις τοῖς τε ἄλλοις καὶ τῷ μεγάλῳ ὑψίνοϊ Βασιλείῳ καὶ Ἰωάννῃ τῷ χρυσορρήμονι τὰ τῆς μυστικῶς ἐπᾳδομένης αὐτοῖς τῇ προθέσει τῶν θείων δώρων εὐχῆς ἀκροτελεύτια ταῦτα ῥήματα· „Σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος Χριστὲ ὁ Θεὸς ἡμῶν·“ αὐτὸν καὶ αὐτοὶ πρότερον τὸν ὑπερούσιον

НБ ОНУ імені І.І. Мечникова

καὶ ὁμοούσιον τῷ Πατρὶ Λόγον, τὴν αὐτοσοφίαν, τὴν αὐταλήθειαν ἐπικαλεσάμενοι καὶ εὐξάμενοι, καὶ τοὺς τῶν παρόντων λόγων ἀκροατὰς τῆς εὐχῆς λαβόντες συλλήπτορας, μὴ περιελεῖν ἐκ στόματος ἡμῶν λόγον ἀληθείας, ἀλλὰ πνεῦμα συνέσεως καὶ σοφίας ἐν ἀνοίξει τοῦ τῆς διανοίας στόματος ἡμῖν ἐπιπνεῦσαι, ὁδηγοῦν ἡμᾶς εἰς πᾶσαν ἀλήθειαν. Λοιπὸν δὲ καὶ τὸ μῆλον ἀπερρίφθω τῆς ἔριδος, κατὰ τὴν Ἀττικὴν παροιμίαν, ἐς κόρακας, πᾶς λόγος ἐριστικὸς καὶ σοφιστικὸς καὶ ὅσος πρὸς ἐπίδειξιν καὶ φιλοτιμίαν εἰκαίαν ἐπιτηδεύεται· οὕτω γὰρ ἂν καὶ γυμνήν, ὥς ἐστι, καὶ καθαρὰν κατίδοιμεν τὴν ἀλήθειαν. Σὺ εἶ, φησιν ὁ θεῖος ἱερομύστης τὴν εὐχὴν πρὸς Χριστὸν ἀναφέρων. Ἆρ᾿ οὐ σαφῶς τὸ μοναδικὸν παρίστησι τῆς ὑποστάσεως τοῦ Χριστοῦ τό τε σύ, καὶ τὸ εἶ, ἑνικῶς ἀμφότερα προφερόμενα; πάνυ μὲν οὖν· εἶτα τὸ εἶναι τοῦ Χριστοῦ δηλοῦν, ὡς ἐνῆν, βουλόμενος, οὐκέτι καὶ τοῦτο συνάπτει μοναδικῶς, ἀλλὰ τετραχῶς ἐξαπλοῖ, ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος· ὁ προσφέρων, ὡς ἱερεὺς δηλονότι, μᾶλλον δὲ καὶ ἀρχιερεύς· καθὰ καὶ νῦν πρὸς αὐτὸν ἐν ἀρχαῖς εἴρηκε τῆς εὐχῆς ὁ ἱεροφάντης· „ὅτι καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας·“ καὶ προφητικῶς πάλαι πρὸς αὐτὸν ὁ ἱεροψάλτης. „Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ *)·

*) Ψαλμ. ρθ΄. 5.

ἣν δὴ μαρτυρίαν καὶ Παῦλος ὁ θεοκῆρυξ ἐν τῇ πρὸς Ἑβραίους παραλαβὼν πολλαχῶς κατὰ τὴν προσοῦσαν αὐτῷ θεοσοφίαν ἡρμήνευσε. Σὺ εἶ ὁ προσφέρων καὶ προσφερόμενος· καὶ μήν, φησι, τὰ προηγούμενα ῥήματα τῆς εὐχῆς αὐτὸν εἰσῆγε περὶ ἑαυτοῦ δεόμενον τὸν εὐχόμενον, ὡς ἂν ἱερατικῆς ἀξιωθῇ χάριτος τοῦ προσενεγκεῖν τῷ Χριστῷ τὰ προτιθέμενα δῶρα, ὡς αὐτὸν ὄντα τὸν ταῦτα προσοίσοντα· καὶ ταῦτα δὲ σῶμα προσειπὼν τοῦ Χριστοῦ καὶ αἷμα, μετὰ βραχύ, τὰ δῶρα ταῦτά φησι, δεικνὺς τὰ προκείμενα, ἄρτον ὄντα κατὰ τὸ προφανὲς καὶ ποτήριον· καὶ πῶς ἄμφω ταῦτα συμβαίνειν δύναται, καὶ ἄνθρωπον εἶναι ψιλὸν τὸν προσφέροντα καὶ τὸν αὐτὸν νοεῖσθαι Χριστὸν τὸν θεάνθρωπον, καὶ μέντοι τὰ τέως ἄρτον καὶ ποτήριον ὄντα δῶρα, ταῦτα σῶμα Χριστοῦ καὶ αἷμα προσαγορεύεσθαι; Ἀλλὰ τὸ ταῦτα διαπορεῖν, ὦ θαυμάσιε, καὶ τὸ πῶς ζητεῖν περὶ τῶν τοιούτων οὐκ ἔστι τῶν τὰ θεῖα μεμυημένων, οὐδ' ἔτι γε μᾶλλον τῶν τὴν καθ' ἡμᾶς ἐπιστήμην ἐξησκημένων, τῶν καὶ τοὺς ἄλλους μυεῖν τὰ τοιαῦτα πεπιστευμένων· οὐκοῦν εἰ μὴ πειραστικῶς ἐρωτᾷς, ὡσανεὶ παίζων τὰ θεῖα καὶ κατορχούμενος καὶ τὴν κατὰ Θεὸν μωρίαν περιφρονῶν, ἀλλ' ἐν ἀληθείᾳ μαθεῖν ἐθέλεις τὸ ἀγνοούμενον, ἔξιθι τέως τοῦ ἱεροῦ βήματος καὶ μετὰ τῶν κατηχουμένων στῆθι καὶ σὺν τούτοις τὴν μαθητείαν τοῦ θείου μυστηρίου κατάδεξαι, καὶ μὴ πρὶν μαθεῖν διδάσκειν ἐθέλεις. Μάνθανε τοιγαροῦν, εἴ τι καταδέχῃ, παρὰ Παύλου

τοῦ θείου, τοῦ εἰς τρίτον οὐρανὸν ἀναχθέντος καὶ εἰς τὸν παράδεισον ἁρπαγέντος κἀκεῖθεν μυηθέντος καὶ αὐτοπτήσαντος τὰ ἀπόρρητα, ὅτι πᾶς ἀρχιερεύς, ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν, μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν· καὶ διὰ ταύτην ὀφείλει καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν*). Ταῦτα μὲν οὖν ὡς περὶ πολλῶν τῶν ἐξ ἀνθρώπων λαμβανομένων ἀρχιερέων φησὶν ὁ θεῖος Παῦλος, οὐχ ἧττον περὶ τῶν καθ᾽ ἡμᾶς ἁρμόζοντα**) λέγεσθαι, ἢ τῶν κατὰ νόμον τὸν παλαιόν· διὸ καὶ πᾶσιν ἱερομύσταις ἐν ταῖς εὐχαῖς τὰ ὑπὲρ ἑαυτῶν συνείρεται ῥήματα· οὕτω δὲ τούτων πολλῶν καὶ ὄντων καὶ λεγομένων, ἅτε δὴ καὶ χρόνῳ καὶ τόπῳ καὶ ἀριθμῷ διαφερόντων ἀλλήλων καὶ πολλαῖς ἄλλαις ὅσαις διαφοραῖς ὑποκειμένων, πάντας ὁ αὐτὸς οἶδεν Ἀπόστολος εἰς τὸν ἕνα συνάγειν, εἴτουν ἀνάγειν, ἀρχιερέα, τὸν μέγαν, τὸν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, ἐν ᾧ οὐκ ἔστι διαστολὴ Ἰουδαίου καὶ Ἕλληνος· καὶ πάλιν φησίν· Οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριστός***). Καὶ ἀλλαχοῦ ἀντι-

*) Ἑβρ. ε΄. 1.

**) ἴσως γραπτ. ἁρμόζουσι.

***) Κολασ. γ΄. 11.

НБ ОНУ імені І.І. Мечникова

στρέφων· οἱ πάντες ἕν ἐσμέν, φησιν, ἐν Χριστῷ*). Ἐνταῦθα μὲν οὖν πολλοὶ οἱ προσφέροντες ἄλλος τε ἀλλαχοῦ καὶ ἄλλος ἄλλοτε· οὕτω δὲ πολλαὶ καὶ αἱ προσφοραὶ καὶ τοσαῦτα τὰ προσφερόμενα· ἐν οὐρανῷ δὲ ὁ ὑπὲρ ἡμῶν πάντων ἐμφανιζόμενος τῷ προσώπῳ Θεοῦ, μᾶλλον δὲ ἑαυτὸν ἑαυτῷ ἐμφανίζων· αὐτὸς γάρ ἐστι καὶ πρόσωπον Θεοῦ, ὁ χαρακτὴρ τῆς πατρικῆς ὑποστάσεως· ἀρχιερεὺς εἷς ἐστιν, αὐτὸς ὁ Χριστός, ὃς μίαν ἐφάπαξ ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, τὸ πανάγιον αὐτοῦ σῶμα, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ· αὐτὸς δέ ἐστι καὶ ἡ δεξιά· οὐ γὰρ δὴ τόπον νοητέον τὴν δεξιὰν τοῦ Θεοῦ. Ἐκάθισεν οὖν, τουτέστι τῆς θείας ἐκοινώνησε βασιλείας τὸ ἐξ ἡμῶν πρόσλημμα, ἐν τῇ δεξιᾷ τοῦ Θεοῦ, τουτέστι τῷ Υἱῷ καὶ Λόγῳ, ᾧ καθ᾽ ὑπόστασιν ἥνωται, διὰ τῆς ἐφάπαξ μιᾶς ταύτης προσφορᾶς εἰς τὸ διηνεκὲς τελειῶν τοὺς ἐνταῦθα πολλούς, καὶ διὰ τῶν πρὸς αἴσθησιν πολλῶν καὶ πολλάκις καὶ πολλαχοῦ τελουμένων προσφορῶν ἁγιαζομένους, πᾶσι πανταχοῦ παρὼν ἀοράτως καὶ τοὺς πολλοὺς ἑνῶν καὶ εἰς ἑαυτὸν ἀνάγων τῇ κοινωνίᾳ τοῦ κατ᾽ αὐτὸν ἑνὸς ἄρτου καὶ τοῦ ποτηρίου, μεταστοιχειουμένων ἐνεργείᾳ τοῦ παντουργοῦ Πνεύματος εἰς τὸ πανάγιον αὐτοῦ σῶμα καὶ τὸ τίμιον αἷμα· καὶ τοῦτο ποιῶν ἐκδηλότερον αὖθις ἐπάγει· Ἔχοντες οὖν, ἀδελφοί, παρρησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ

*) Γαλατ. γ΄. 28.

αἵματι Ἰησοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος, τουτέστι τῆς σαρκὸς αὐτοῦ, καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ, προσερχόμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως*)· ἣν προλαβὼν εἶπε θυσίαν ἐφάπαξ τελεσθεῖσαν, ταύτην νῦν ὁδὸν πρόσφατον καλέσας, ἀλλὰ καὶ ζῶσαν, ὡς τὸ διηνεκὲς τελουμένην διὰ τῶν καθ' ἑκάστην προσφερομένων θείων ἁγιασμάτων, ἃ καὶ καταπέτασμα προσεῖπε καὶ εἴσοδον εἰς τὰ ἅγια· καὶ φανερώτερον ἔτι σάρκα τοῦ Κυρίου καὶ αἷμα, καθὼς καὶ αὐτὸς προεῖπεν ὁ Κύριος· Ὁ ἄρτος, ὃν ἐγὼ δώσω ἡμῖν, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς**)· καὶ τὸν ἄρτον ἐν τῷ μυστικῷ δείπνῳ διανέμων καὶ τὸ ποτήριον, Οὗτος ἐστὶ τὸ σῶμά μου, καὶ τοῦτο τὸ αἷμά μου***). Οὗτος μὲν οὖν ὁ μέγας καὶ πρῶτος καὶ εἷς ἱερεὺς ὁ προσφέρων ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ, ὥς ὁ θεῖός φησιν Ἀπόστολος, οἶκον πάλιν αὐτὸν ὀνομάζων, ὃν ἡ σοφία ἑαυτῇ ᾠκοδόμησε, τὸν αὐτὸν εἰδὼς καὶ σοφίαν καὶ οἶκον, τὸν ἐκ τῶν παρθενικῶν αἱμάτων ἑαυτῷ τὴν σάρκα οἰκοδομήσαντα, καὶ γενόμενον σάρκα καθ' ἕνωσιν ἀμετάβολον, καὶ οὕτω σκηνώσαντα ἐν αὐτῇ καὶ δι' αὐτῆς ἐν ἡμῖν κατὰ τὴν Ἰωάννου θεολογίαν. Ταῦτα δὲ καὶ τὰ δῶρα τὰ προσφερόμενα, ἡ σάρξ

*) Ἑβρ. ι'. 19.
**) Ἰωάν. ς'. 51.
***) Ματθ. κς'. 27.

НБ ОНУ імені І. І. Мечникова

καὶ τὸ αἷμα, ἃ πάλιν αὐτός ἐστιν ὁ προσφέρων, καὶ δι' αὐτῶν προσφερόμενος· ἀλλ' ὅτι μὲν οἱ πολλοὶ καὶ κάτω προσφέροντες ἱερεῖς εἰς τὸν ἕνα τοῦτον ἀνάγονται, καὶ ἕκαστος καὶ πάντες ὁμοῦ ἐκεῖνος εἶναι λογίζονται· οἱ μὲν ἀναλόγως ἡμῖν τοῖς ὑπὸ χρόνον τελοῦσι καὶ αἴσθησιν αἰσθητῶς ἐνταῦθα καὶ χρονικῶς τὴν ἱερουργίαν τελοῦντες καὶ τὸν ἐκείνου τόπον ἀναπληροῦντες, ὁ δὲ καθ' ἑαυτὸν ἐνίζων τὴν τελετήν, εἰς ἑαυτόν τε ἀναδεχόμενος, καὶ τῷ προσώπῳ τοῦ Θεοῦ τὴν θυσίαν ὡς αὐτὸ οὖσαν τὸ ἑαυτοῦ σῶμα, διηνεκῶς εἴτουν διαιωνίως ἐν τοῖς ἐπουρανίοις ἐμφανίζων· αὕτη γὰρ καὶ λύτρωσις, ἣν ἡμῖν αἰωνίαν διὰ τῆς ἐφάπαξ αὐτοῦ θυσίας εὕρατο, καὶ εἴσοδος εἰς τὰ ἅγια, ἣν πρόσφατον καὶ ζῶσαν ὁδὸν ἡμῖν ἐνεκαίνισεν· ἱκανῶς ἡρμήνευσεν ὁ Ἀπόστολος. Ἔτι δ' ἴσως δεῖ σοι λεπτοτέρας τῆς διαρθρώσεως τοῦ πῶς σῶμα Χριστοῦ καὶ αἷμα τὰ προσφερόμενα, ὁ ἄρτος καὶ τὸ ποτήριον, γίνεταί τε καὶ λέγεται· τάχα γὰρ ἐκ τῆς τοιαύτης ἀγνοίας καὶ τὴν ὄντως θυσίαν μίαν φῂς ὡς ἐφάπαξ τετελεσμένην, καὶ μηκέτι τελεσθῆναι, μηδὲ πολλῷ μᾶλλον τελεῖσθαι διηνεκῶς δυναμένην. Ἀλλὰ καὶ περὶ τούτων ὁ αὐτὸς διδάσκει σαφῶς Ἀπόστολος, ἐν οἷς ἐπιστέλλων τοῖς Κορινθίοις ἀποτρέπει τὸ ἐσθίειν τὰ εἰδωλόθυτα· οὐ τὸ πῶς ὁ ἄρτος σῶμα Χριστοῦ καὶ τὸ ποτήριον αἷμα γίνεται δεικνύς, ὡς μηδὲ δεόμενον ἀποδείξεως, ἀλλὰ τοῦτο λαμβάνων αὐτόθεν ὡς πᾶσιν ὁμολογούμενον, ἐντρεπτικῶς οὕτως αὐτοὺς κατὰ ἀπό-

НБ ОНУ імені І.І. Мечникова

φασιν ἐρωτῶν· Τὸ ποτήριον τῆς εὐλογίας, ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστιν; ὁ ἄρτος ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν; εἶτα ἐπάγων εἰς ἔνδειξιν τοῦ μὴ τὴν ἀπόφασιν, ἀλλὰ τὴν κατάφασιν ἐκ τῆς τοιαύτης ἐρωτήσεως αὐτὸν δέχεσθαι, Ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν *)· ἐντεῦθεν κατασκευάζων, ὅτι τὸ ἐσθίειν τὰ εἰδωλόθυτα μετέχειν τραπέζης δαιμονίων ἐστί· διὸ καὶ αὖθις φησίν· Οὐ δύνασθε ποτήριον Κυρίου πίνειν καὶ ποτήριον δαιμονίων· οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν καὶ τραπέζης δαιμονίων **). Προϊὼν δ' ἔτι καὶ ὅθεν νῦν ἔλαβε τὸ λεγόμενον ὡς ὁμολογούμενον ἀριδηλότερον παριστᾷ, ὅτι ἀπὸ τοῦ Κυρίου. Ἐγὼ γάρ, φησι, παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτί, ᾗ παρεδίδετο, ἔλαβεν ἄρτον καὶ εὐχαριστήσας ἔκλασε καὶ εἶπε, Λάβετε, φάγετε· τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων, Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ αἵματί μου· τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν ***). Καὶ ὅρα ὅτι τὸ ποτήριον, ὃ εὐλογοῦμεν, εἶπε

*) Κορινθ. Α΄. ι΄. 16.

**) αὐτόθι 21.

***) αὐτόθι ια΄. 23.

НБОНУ імені І.І. Мечникова

προλαβὼν ὁ Ἀπόστολος, οὐχ ὃ εὐλόγησεν ὁ Κύριος, ὡς ἀδιάφορον ὂν τοῦτο ἢ ἐκεῖνο εἰπεῖν· ὡσαύτως καὶ ὁ ἄρτος, ὃν κλῶμεν, ἵνα δείξῃ τὸ παρ' ἡμῶν χρονικῶς τελούμενον ταυτὸν ὂν τῷ ἐφάπαξ καὶ διαιωνίως παρ' αὐτοῦ τετελεσμένῳ καὶ τελουμένῳ. Ἀλλ' οὐ τὸ ὅτι, φησίν, ἀλλὰ τὸ πῶς ἡμῖν ἐζητεῖτο. Ἀλλὰ τὸ πῶς, ὦ οὗτος, ζητεῖν, περὶ ὧν τὸ Πνεῦμα τὸ ἅγιον καὶ αὐτὸς Χριστὸς ἐνεργεῖ τε καὶ ἀποφαίνεται, μὴ καὶ παντάπασιν ἀπιστοῦντος εἴη, καὶ μηδὲν πλέον νομίζοντος ὑπὲρ ἡμετέραν γνῶσιν τὸν Θεὸν δύνασθαι· πλὴν ἵνα σου καὶ ταύτην τὴν ἐκ ματαίων λογισμῶν πολυπραγμοσύνην στήσω, καὶ αὐτὸς τὴν ἐξ εὐλόγων λογισμῶν θεραπείαν σοι προσάξειν οὐ κατοκνήσω. Οὐκ ἄκαιρον δ' ἴσως τοῖς αὐτοῖς καὶ νῦν χρήσασθαι λόγοις, οἷς καὶ πρότερον ἤδη κέχρημαι, περὶ τῶν αὐτῶν αἱρετικοῖς ἀνταγωνιζόμενος. Πῶς οὖν ὁ ἄρτος σῶμα Χριστοῦ καὶ πῶς τὸ ποτήριον αἷμα γίνεται; Φαμὲν ὅτι Πνεύματος ἁγίου ἐπιφοιτήσει καὶ ἐνεργείᾳ, καθηγιασμένα δηλαδὴ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως. Πάλιν οἶδ' ὅτι θέλεις τὸ πῶς ἐρωτᾶν, καὶ οὐκ ἄν ποτε τοῦ ἀπορεῖν ἀποστήσῃ, μέχρις ὅτου φυσικοὺς λόγους περὶ τῶν ὑπερφυῶν τοῦ Πνεύματος ἐνεργειῶν ἀπαιτεῖς. Ἀλλ' εἴπερ ἦσθα τῷ ὄντι πιστὸς καὶ πνευματικός, ἠρκέσθης ἂν ἀκούσας ὅτι διὰ Πνεύματος ἁγίου, καὶ πιστεύσας ἐπέγνως, ὅτι πνευματικῶς καὶ ὑπερφυῶς κἂν τοῖς φυσικοῖς ἐνεργεῖ τὸ Πνεῦμα, χρώμενον μὲν τοῖς φυσικοῖς καὶ οἷς συνειθίσμεθα διὰ τὴν πρὸς ἡμᾶς τούτων

οἰκείωσιν, ὡς ἂν καὶ ῥᾷον παραδεχώμεθα τὸ τελούμενον· δυσπαράδεκτον γὰρ τὸ ἀσύνηθες· ἐνεργοῦν δ' ὅμως κἀν τούτοις οἰκείως ἑαυτῷ πνευματικῶς καὶ ὑπερφυῶς. Καὶ ὥσπερ ἐπὶ τοῦ βαπτίσματος, ἐπειδὴ σύνηθες τοῖς ἀνθρώποις ὕδατι λούεσθαι καὶ ἐλαίῳ χρίεσθαι, διὰ τοῦτο ταῦτα τὸ Πνεῦμα παραλαβὸν καὶ τὴν παρ' ἑαυτοῦ χάριν ἐγκαταμίξαν, τὸ λουτρὸν ἡμῖν ἐνήργησε τῆς ἀναγεννήσεως· οὕτως, ἐπειδή περ ἄρτος ἡμῖν καὶ ὕδωρ οἴνῳ συμμιγὲς ἡ συνήθης καὶ κατὰ φύσιν τροφή, ταῦτα δὴ κἀνταῦθα παραλαμβάνον, διὰ τῆς οἰκείας ἐνεργείας σῶμα Χριστοῦ καὶ αἷμα ἀποτελεῖ, καὶ οὕτω συσσώμους ἀποφαίνει καὶ συμμετόχους Χριστοῦ τοὺς τούτων ἐν πίστει μεταλαμβάνοντας, κοινωνοῦντας αὐτῷ ὥσπερ τῆς ἀφθόρου γεννήσεως διὰ τοῦ βαπτίσματος, οὕτω καὶ τῆς κατ' αὐτὴν τροφῆς καὶ ἀναγωγῆς διὰ τῆς μυστικῆς ταύτης συνεστιάσεως, ἀνάλογόν τε τῇ γεννήσει καὶ τὴν τροφὴν καὶ τὴν διὰ ταύτης προκοπήν, εἴτουν αὔξησιν, προσλαμβάνοντας*). Ὃ γὰρ εἴρηται περὶ τοῦ Χριστοῦ, ὅτι τὸ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ**)· Καὶ πάλιν· Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι***)· τοῦτο δεῖ καὶ ἐφ' ἡμῶν γίνεσθαι, ἵνα καὶ ἡμεῖς αὔξωμεν καὶ προκόπτωμεν οὐ μᾶλλον σωματικῶς

---

*) ἐν τῷ χειρογ. προλαμβάνοντας.

**) Λουκ. β'. 40.

***) Λουκ. β'. 52.

НБОНУ імені І.І. Мечнікова

ἢ πνευματικῶς· μᾶλλον δὲ ἀπὸ τῆς σωματικῆς ἀεὶ προκοπῆς ἐπὶ τὴν πνευματικὴν μεταβαίνωμεν, καὶ ταύτης ἐκείνην ποιῶμεν ὑπόθεσιν, τῶν μὲν ὄπισθεν κατὰ τὴν ἀποστολικὴν παρεγγύησιν ἐπιλανθανόμενοι, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενοι, καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενοι, καὶ εἰς δύναμιν ἐκ δυνάμεως, καὶ εἰς δόξαν ἀπὸ δόξης προβαίνοντες, μέχρις οὗ καταντήσωμεν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. Διὰ γὰρ τοῦτο καὶ ὁ Χριστός, καίτοι καθὸ Θεὸς ὑπερτέλειος ὢν καὶ ὑπερπλήρης καὶ αὐτοδύναμις καὶ αὐτοσοφία καὶ αὐτοχάρις καὶ χορηγὸς πάσης σοφίας καὶ χάριτος καὶ δυνάμεως, ὅμως οὐχ ἁρπαγμὸν ἡγήσατο, κατὰ τὸν αὐτὸν Ἀπόστολον φάναι, τὸ εἶναι ταῦτά τε καὶ ὅσα ἄλλα τὴν θείαν χαρακτηρίζει μορφήν· ἀλλ' ὑπὲρ φιλανθρωπίας ἀνθρώπου μορφὴν ὁ δεσπότης δουλικὴν προσελάβετο, καὶ ἀκολούθως παιδίον τε ἀληθῶς προσηγόρευται καὶ αὐξάνειν εἴρηται, προκόπτειν τε καὶ πληροῦσθαι κατὰ τὰ φυσικὰ μέτρα τῆς ἀνθρωπότητος, ἅπερ ὑπέδυ, ἵνα καὶ ἡμεῖς ἐκ τῆς ἐν τοῖς φυσικοῖς αὐτοῦ κοινωνίας εἰς τὴν τῶν ὑπερφυῶν ἀγαθῶν μετουσίαν ἐπαναγώμεθα· πλὴν ὁ μὲν ὢν ἐκεῖνα γίνεται ταῦτα, κενώσας ἑαυτὸν τῆς οἰκείας δόξης ἐν τῇ προσλήψει τοῦ ἡμετέρου φυράματος· ἡμεῖς δὲ κἂν τούτοις, τοῖς φυσικοῖς λέγω τοῦ Σωτῆρος, τὰς ὑπερφυεῖς αὐτοῦ καταλαμβάνοντες ἐκλαμπούσας χάριτας· εἰ γὰρ καὶ ἐκ γυναικός, ἀλλὰ παρθένου γεγέννηται· καὶ εἰ τῇ

τῆς ἡλικίας αὐξήσει καὶ τὴν σοφίαν αὐτῷ συμπροκόπτειν καὶ τὴν χάριν ἀνθρωποπρεπῶς ἐπεδείκνυτο, ἀλλ' οὐκ ἐκ μαθήσεως τὴν σοφίαν, οὐδ' ἐξ ἀσκήσεως τὴν χάριν ἔξωθέν ποθεν προσελάμβανεν, ἀλλ' ἅπερ ἦν αὐτός, ταῦτα καὶ κατὰ καιρὸν ἐξεφαίνετο, τῆς ἐκφάνσεως οἰκονομικῶς ἀπὸ τοῦ ἀμυδροτέρου προβαινούσης εἰς τὸ τρανότερον· ὅμως τούτων μὲν αὐτὸν οἴδαμέν τε καὶ λέγομεν σωματικῶς ἡμῖν κοινωνήσαντα, αὐτοὶ δὲ αὐτῷ τῶν οὕτω φυσικῶν καὶ ὑπερφυῶν διὰ τῶν παρ' αὐτοῦ παραδεδομένων ἱερῶν μυστηρίων σωματικῶς ὁμοῦ καὶ πνευματικῶς κοινωνοὶ καθιστάμενοι, οὕτω καὶ πάντων τῶν θείων αὐτοῦ πλεονεκτημάτων μέτοχοι χρηματίζειν πιστεύομεν, τῆς τελειότητος, τῆς πληρότητος, τῆς δυνάμεως, τῆς σοφίας, τῆς χάριτος. Ἔτι ζητεῖς τὸ πῶς; ἔτι ἀπορεῖς; ὡς μακρὰν ἀπέχεις τοῦ εἶναι πιστός! οὔπω τάχα κατηχήθης τῆς πίστεως τὸ μυστήριον· ἢ φράσον αὐτός, πῶς ἡ παρθένος ἐγέννησε; πῶς ὁ λόγος ἐγένετο σάρξ; φυσικῶς τὸ ὅλον; οὐκ ἔχεις εἰπεῖν· οὐ γὰρ οἶδε τόκον ἡ φύσις ἄνευ σπορᾶς, οὐδὲ Θεὸν παχυνόμενον· ἀλλὰ τὸ ὅλον ὑπερφυῶς; οὐδὲ τοῦτο· συνέλαβε γὰρ ἡ παρθένος ἀληθῶς ἐν γαστρὶ κατὰ τὴν τοῦ Ἀγγέλου φωνὴν καὶ τέτοκε νόμῳ φύσεως· ἐπλήσθη γὰρ ὁ χρόνος, ὡς εἴρηται, τοῦ τεκεῖν αὐτήν, καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς*), τὸν ἐν ἀρχῇ ὄντα Λόγον καὶ Θεὸν ὄντα κατὰ τὴν Ἰωάννου θεολο-

*) Λουκ. β'. 6.

НБ ОНУ імені І.І. Мечникова

γίαν, ἐκ τῶν αὐτῆς αἱμάτων σάρκα γενόμενον. Ἠρώτησε κἀκείνη τότε τὸ πῶς, πρὸς τὴν φύσιν μόνον ἀποσκοπήσασα· Πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω*); ἀλλ᾽ ἀκούσασα παρὰ τοῦ Ἀγγέλου, ὅτι Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ**) καὶ τὸ τῇ φύσει ἀδύνατον τῷ ἁγίῳ Πνεύματι δυνατὸν εἶναι πιστεύσασα, συγκατέθετό τε τῷ ἀγγελικῷ διαγγέλματι, καὶ οὕτως φυσικῶς αὐτὴ τῷ ὑπερφυῶς ἐνεργουμένῳ παρὰ τοῦ Πνεύματος ὑπηρέτησε. Τοιαύτη τῆς σωτηρίας ἡμῶν ἡ πρώτη καταβολή. Τοιοῦτος ὁ τῆς περὶ ἡμᾶς θείας προμηθείας θεμέλιος. Οὗτος ὁ τρόπος τῆς ὅλης οἰκονομίας, ἐν τοῖς φυσικοῖς ἡμῶν ἐνεργουμένης ὑπερφυῶς, ἐν τοῖς κατ᾽ οὐσίαν ὑπερουσίως, ἐν πᾶσι τοῖς ἡμετέροις ὑπὲρ ἡμᾶς. Ἄρτος μὲν οὖν στηρίζει καὶ οἶνος εὐφραίνει, κατὰ τὸν ψαλμῳδόν, καρδίαν ἀνθρώπου***). Καθάπαξ γὰρ ἡ τοῦ σώματος ἡμῶν φύσις τῆς ἀφθάρτου καὶ ἀθανάτου διὰ τὴν ἁμαρτίαν ἀποπεσοῦσα ζωῆς καὶ μηκέτι καθ᾽ ἑαυτὴν μένειν καὶ ὑφίστασθαι δυναμένη, ἀλλὰ διηνεκῶς ὑπορρέουσα, δεῖταί τινος ἔξωθεν ἐπεισρεούσης δυνάμεως, τὸν τοῦ κενουμένου τόπον ἀναπληρούσης καὶ τὴν παντελῆ διακοπτούσης ἀπόρρευσιν· καὶ τροφὴ μὲν ἡ δύναμις αὕτη λέγεται, τῆς δὲ εἰς βρῶσιν καὶ πόσιν διαιρουμένης, ἄρτος μὲν ἡ προηγουμένη καὶ ἀναγκαιοτάτη βρῶσίς ἐστιν, οἶνος δὲ

*) Λουκ. α΄. 34.

**) Λουκ. α΄. 35.

***) Ψαλμ. ργ΄. 15.

НБ ОНУ імені І.І. Мечникова

ὕδατι συμμιγὴς ἡ πόσις· ὁ μὲν εἰς τὴν τῆς στερεωτέρας ἐν ἡμῖν οὐσίας διαμονην καὶ συντήρησιν, ὅπερ ἐστὶ τὸ στηρίζειν, τὰ δὲ εἰς τὴν τῆς ὑγροτέρας παραλαμβανόμενα μετὰ τοῦ καὶ συμμαχεῖν τῷ θερμῷ καὶ ἡδύνειν τὸν οἶνον δύνασθαι. Τούτων δὲ σαφῶς καὶ ἀναμφιλέκτως οὕτως ἐχόντων, εὔδηλον ὡς αὐτὰ ταῦτα, τὰ τὴν σωματικὴν οὐσίαν ἡμῶν δι᾿ ἑαυτῶν τρέφοντα καὶ οὕτω στηρίζοντα καὶ συνέχοντα, καὶ πρὶν ἐν ἡμῖν γενέσθαι, δυνάμει σῶμα καὶ αἷμά ἐστιν ἡμέτερον· ἐν ἐμοὶ γὰρ ταῦτα γενόμενα σῶμα καὶ αἷμα ἐμὸν διὰ τῆς ἀλλοιωτικῆς δυνάμεως γίνεται. Ὁπότε τοίνυν καὶ ὁ ἀγαθὸς καὶ πανάγαθος καὶ ὑπεράγαθος Κύριος, Θεὸς ὢν τέλειος, καὶ ἄνθρωπος διὰ φιλανθρωπίαν τέλειος γέγονεν, οὐκ ἄλλην τινὰ παρακαινοτομήσας ἑαυτῷ φύσιν σώματος, ἀλλ᾿ αὐτὸ τὸ ἡμέτερον προσλαβόμενος φύραμα, καὶ διὰ τῶν ἡμῖν συνήθων καὶ ἀναγκαίων τὴν διαμονὴν τούτῳ δοὺς καὶ συντήρησιν, τοῦ ἄρτου βρώματος, καὶ τοῦ κεκραμμένου οἴνῳ καὶ ὕδατι πόματος, ἀκόλουθον ἂν εἴη καὶ τοῦ Κυρίου σῶμα καὶ αἷμα τὸν ἄρτον καὶ τὸ εἰρημένον ποτήριον κατὰ τὰ αὐτὰ λέγειν γίνεσθαι, ὅτε μὲν ἔτι τοῖς ἀνθρώποις συνανεστρέφετο τῇ κατὰ φύσιν ἀλλοιωτικῇ δυνάμει, νῦν δὲ τῇ πνευματικῇ καὶ θείᾳ μεταποιούμενα πρὸς εὐεργεσίαν καὶ σωτηρίαν τῶν μετεχόντων. Καθάπερ γὰρ οἱ δηλητήριον ἐξ ἐπιβουλῆς λαβόντες ἄλλῳ φαρμάκῳ τὴν ἐκεῖθεν ἀποτρέπονται βλάβην, καθ᾿ ὁμοιότητα τοῦ δηλητηρίου καὶ τὸ ἀλεξητήριον εἰσδεχόμενοι,

ὡς ἂν δι᾽ ὧν ἐκεῖνο, διὰ τῶν αὐτῶν καὶ τοῦτο χωρῆσαν τὴν φθοροποιὸν πανταχόθεν δύναμιν ἀποκρούσηται διὰ τῆς οἰκείας ἀντιπαθείας· οὕτω δὴ καὶ ἡμεῖς διὰ τῆς κατὰ παράβασιν βρώσεως φθορᾶς καὶ θανάτου γενόμενοι μέτοχοι, ἀναγκαίως ἀντιδότου φαρμάκου προσεδεήθημεν, ἵνα διὰ τῆς αὐτοῦ βρώσεως τὴν ἐγγενομένην ἡμῖν φθορὰν καὶ τὸν θάνατον ἐκκρουσώμεθα, καὶ πρὸς ζωὴν οὕτω καὶ σωτηρίαν ἐπαναδράμωμεν· τὸ δὲ ἦν αὐτὸ τὸ ζωηρὸν σῶμα τοῦ σωτῆρος Χριστοῦ, ὃ διὰ τῆς μέχρι θανάτου ὑπακοῆς αὐτοῦ, θανάτου κρεῖττον ἀποφανθέν, καὶ ἡμῖν τῆς ζωῆς προκατήρξατο. Καὶ καθάπερ μικρὰ ζύμη, τοῦτο δὴ τὸ παρὰ τοῦ Ἀποστόλου ῥηθέν, ὅλον τὸ φύραμα ζυμοῖ *)· οὕτω καὶ τὸ ἀθανατισθὲν τοῦτο σῶμα, ταυτὸν δὲ εἰπεῖν ὁ τοῦτο διὰ τῆς ἐνεργείας τοῦ Πνεύματος ἀποτελούμενος ἄρτος, εἰς μικρὰ κλώμενον καὶ διαδιδόμενον· οὕτω δὲ καὶ τὸ ἀπορρεῦσαν τοῦ θείου τούτου σώματος αἷμα, ὅπερ ἐστὶ τὸ ποτήριον, διαμεριζόμενον, ἑκάτερον διὰ τῆς οἰκείας μερίδος ἐν ἑκάστῳ ἡμῶν γινόμενον, ὅλον ἕκαστον ἐξομοιοῖ ἑαυτῷ καὶ ζωηρὸν ὅλον, οἷον αὐτό ἐστιν, ἐκτελεῖ. Τοιοῦτος ὁ τρόπος τῆς τῶν προσαγομένων παρ᾽ ἡμῶν, τοῦ ἄρτου καὶ τοῦ ποτηρίου, εἰς σῶμα καὶ αἷμα Χριστοῦ μεταποιήσεως. Οὕτως ἡμεῖς πίστει τούτων μεταλαμβάνοντες, σύσσωμοι Χριστοῦ καὶ κοινωνοὶ τῆς ἀθανασίας γινόμεθα· οὕτως ζωου-

*) Κορινθ. Α΄. ε΄. 6.

НБ ОНУ імені І.І. Мечникова

μεθα· οὕτως θεούμεθα. Ἀλλ᾿ ὅπως μὲν προσφέρων καὶ προσφερόμενος ὁ Χριστός ἐστί τε καὶ λέγεται, οὐχ ἧττον δὲ καὶ ὅπως διαδιδόμενος, ἱκανῶς διὰ τῶν εἰρημένων ὁ λόγος ἡρμήνευσε, ξηραῖς ὡς εἰπεῖν τὰ πολλὰ ταῖς ἀποστολικαῖς τε καὶ εὐαγγελικαῖς χρησάμενος λέξεσιν· ὅπως δὲ ἄρα καὶ προσδεχόμενος, εἰπεῖν ἔτι λείπεται. Ὁ τοίνυν Χριστὸς Θεὸς ὢν ἀεί, προαιωνίως ἐκ τοῦ Πατρὸς γεννηθείς, καὶ ἄνθρωπος διὰ φιλανθρωπίαν ἐν ὑστέροις χρόνοις ἐγένετο, σαρκωθεὶς ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς ἀειπαρθένου, ἣ καὶ θεοτόκος κυρίως καὶ ἀληθῶς ὀνομάζεται· καθότι μὴ ψιλὸν ἐγέννησεν ἄνθρωπον, ἀλλὰ Θεὸν τὸν αὐτὸν καὶ ἄνθρωπον, οὐ τραπέντα τὴν θεότητα, καθ᾿ ἣν ἦν ἀπ᾿ ἀρχῆς Θεὸς ἐκ Θεοῦ, οὐ τρέψαντα τὴν ἀνθρωπότητα, ἣν ὕστερον προσελάβετο καὶ ἑαυτῷ ἥνωσεν, ἀλλ᾿ ἄμφω λοιπὸν ὄντα Θεὸν οὐ γυμνόν, καὶ ἄνθρωπον οὐ ψιλόν. Εἰ οὕτω πιστεύεις, εἰ ταῦτα ὁμολογεῖς, ἔχεις ἤδη τὸ ζητούμενον ὁμολογούμενον· ὁ γὰρ προσφέρων ὡς ἱερεὺς καὶ προσφερόμενος ὡς ἱερεῖον, καθότι ἄνθρωπος, ὁ αὐτὸς καὶ καθὸ Θεὸς προσδέχεται τὸ προσφερόμενον, τὸ οἰκεῖον σῶμα καὶ αἷμα, ὡς συνελόντα εἰπεῖν, αὐτὸς ἑαυτὸν ἑαυτῷ προσφέρων, ἢ γοῦν αὐτὸς ἑαυτὸν παρ᾿ ἑαυτοῦ προσδεχόμενος, ἵν᾿ ἅμα καὶ τὸ διπλοῦν τῆς φύσεως καὶ τὸ μοναδικὸν τῆς ὑποστάσεως αὐτοῦ παραστῇ. Οὕτω δὲ καὶ τὸ μὲν φαινόμενον σωματικῶς ὡς ἄρτος καὶ ποτήριον, τὸ δὲ μυστικῶς θεωρούμενον καὶ πνευματικῶς τελούμενον, ὡς αὐ-

НБ ОНУ імені І.І. Мечникова

τός, εἴτουν τὸ ἑαυτοῦ σῶμα καὶ αἷμα, μεριζόμενος καὶ διαδιδόμενος. Οὔ, φησιν ὁ καινὸς Θεολόγος, οὐχ ἑαυτῷ τὴν θυσίαν προσήνεγκεν ὁ Χριστός, ἀλλὰ τῷ Πατρί· τοῦτο γὰρ καὶ ὁ πολὺς τὴν θεολογίαν φησὶ Γρηγόριος, ἐν οἷς τὸ προκείμενον ἐξετάζει δόγμα καὶ πρᾶγμα, καθὼς αὐτός φησι, περὶ οὗ ταῦτα γράφει ζητητικῶς ἐπὶ λέξεων· Τίνι γὰρ τὸ ὑπὲρ ἡμῶν αἷμα, καὶ περὶ τίνος ἐχέθη τὸ μέγα καὶ περιβόητον τοῦ Θεοῦ καὶ ἀρχιερέως καὶ θύματος; Εἶτα μετὰ τὸ κρατῦναι καὶ ἄπορον, ὡς ἐνῆν, καὶ ὡς ὕβριν μὲν ἐσχάτην ἀπαγορεῦσαι, τὸν τὸν κατέχοντα ἡμᾶς πονηρόν, τὸ τοσοῦτον λαβεῖν ἀντίλυτρον, ἐπαπορῆσαι δὲ καὶ περὶ τοῦ Πατρός, εἰ ἐκείνῳ προσήνεκται καὶ εἰπεῖν, πρῶτον μὲν πῶς, οὐχ ὑπ' ἐκείνου γὰρ ἐκρατούμεθα, δεύτερον δὲ τίς ὁ λόγος μονογενοῦς αἷμα τέρπειν πατέρα, ὃς οὐδὲ τὸν Ἰσαὰκ ἐδέξατο παρὰ τοῦ πατρὸς προσφερόμενον· ἄρδην λοιπὸν τὴν ἀπορίαν ἐπιλυόμενος, ἢ δηλονότι φησὶ δέχεται μὲν ὁ Πατὴρ οὐκ αἰτήσας οὐδὲ δεηθείς, ἀλλὰ διὰ τὴν οἰκονομίαν καὶ τὸ χρῆναι ἁγιασθῆναι τῷ ἀνθρωπίνῳ τοῦ Θεοῦ τὸν ἄνθρωπον, ἵν' αὐτὸς ἡμᾶς ἐξέληται τοῦ τυράννου, βίᾳ κρατήσας, καὶ πρὸς ἑαυτὸν ἐπαναγάγῃ διὰ τοῦ Υἱοῦ μεσιτεύσαντος καὶ εἰς τιμὴν τοῦ Πατρὸς τοῦτο οἰκονομήσαντος, ᾧ τὰ πάντα παραχωρῶν φαίνεται. Ὁ δὴ ταῦτα προφέρων κατὰ τῶν ἕνα καὶ τὸν αὐτὸν ὁμολογούντων εἶναι Χριστόν, τὸν προσφέροντά τε καὶ προσφερόμενον κατὰ τὸ ἀνθρώπινον, ἀλλὰ δὴ καὶ προσδεχόμενον ὡς Θεόν,

НБ ОНУ імені І.І. Мечникова

πρῶτα μὲν ἁμαρτάνει συκοφαντῶν τοὺς ἁγίους, καὶ διαφωνίαν αὐτῶν, εἴτουν ἀδοξίαν, κατηγορῶν, ὅπερ οὐκ ἂν ποτε φαίην ἔγω γε· οἶμαι δ' οὐδ' ἄλλος, ὅςτις οἶδε τὸν θεολόγον Γρηγόριον ἑαυτῷ μὲν τὴν Βασιλείου τοῦ μεγάλου πίστιν, ἐκείνῳ δὲ τὴν ἑαυτοῦ κοινοτρόπως ἀντιλογίζεσθαι καὶ βουλόμενον καὶ εὐχόμενον· καὶ μὴ μόνον τὸ ὁμόπιστον καὶ ὁμόδοξον, ἀλλὰ καὶ ἁπλῶς τὸ ὁμόψυχον ἀμφοῖν διαρρήδην ἐπικαυχώμενον, μίαν ἄμφω λέγων ψυχὴν ἐν δυσὶν εἶναι τοῖς σώμασιν. Ὁ γοῦν οὕτω συγκεκραμένος καὶ ἡνωμένος καὶ ψυχῇ καὶ πίστει τῷ Βασιλείῳ Γρηγόριος, πῶς ἂν τῷ φρενῶν ὑγιῶς ἔχοντι ἀντιδοξεῖν δόξῃ τῷ ὁμοδόξῳ, τῷ ὁμοπίστῳ, τῷ ὁμοψύχῳ; Οὐμενουν οὐκ ἔστι τοῦτο εἰπεῖν οὐκ ἔστιν· ὅπου γε καὶ αὐτὸς ὁ θεολόγος εὕρηται τῷ προσέχοντι ἐν ἄλλοις τε πολλοῖς τῶν αὐτοῦ λόγων χωρίοις, κἀν ταύτῃ δὲ τῇ ζητήσει τοῦ προτεθειμένου προβλήματος, τὸν αὐτὸν Χριστὸν πρῶτον Θεὸν ἀνειπών, εἶτα καὶ ἱερέα καὶ θῦμα· καὶ περὶ τοῦ αἵματος τούτου τοῦ Θεοῦ καὶ ἱερέως καὶ θύματος τὸν λόγον κεκινηκώς, τίνι καὶ περὶ τίνος ἐχέθη. Ὁ τοίνυν Θεοῦ λέγων τὸ χεθὲν αἷμα, οὐχ ᾗ Θεοῦ πάντως, ἀλλ' ἵνα τὸν ἕνα δείξῃ Χριστὸν ἀδιαίρετον κατὰ τὴν ὑπόστασιν, οὐ θύτην καὶ θῦμα μόνον, ἀλλὰ καὶ Θεὸν πολλῷ πρότερον· καὶ τῷ Πατρὶ τὸ τοιοῦτον αἷμα προσηνέχθαι ἀποφαινόμενος, οὐχ ᾗ Πατρὶ πάντως· οὐ γὰρ τέρπεται πατὴρ υἱοῦ αἵματι, αὐτὸς εἴρηκεν· ἀλλ' ᾗ Θεῷ· καθὸ πάλιν ἀχώριστος τοῦ Πατρὸς ὁ

Υἱός, πῶς οὐχ ὁμοδοξεῖ τῷ λέγοντι τὸ οἰκεῖον αἷμα καὶ ἑαυτῷ σὺν τῷ Πατρὶ προσενηνοχέναι; ὡς εἶναι καὶ αὐτὸν μετὰ τοῦ Πατρὸς τὸ προσαγόμενον προσδεχόμενον, ᾧ τὰ πάντα, φησί, παραχωρῶν φαίνεται, τὰ κοινὰ τῆς ὅλης θεότητος ἀνατιθεὶς ἔστιν οὗ τῷ Πατρί· ὡς ὅπου φησίν, Ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός*)· καίτοι γε οὐκ ἴδιον τοῦ Πατρὸς μόνου, ἀλλὰ κοινὸν τῶν τριῶν προσώπων πᾶν θεῖον θέλημα· οὕτω δὲ καὶ τὸ δέξασθαι τὴν θυσίαν, κοινὸν ὄν, τῷ Πατρὶ νέμομεν· καθότι καὶ αὐτὸς ὁ Υἱὸς τὰ πάντα τῷ Πατρὶ καὶ ταύτην δὴ τὴν διὰ τῆς θυσίας τιμὴν παραχωρῶν φαίνεται· δεύτερον δέ, ὃ καὶ χείριστον, κατ᾽ αὐτῆς ἁλίσκεται τῆς δόξης, εἴτουν τῆς θείας οὐσίας, τοῦ μονογενοῦς προφανῶς βλασφημῶν ὁ τὸ γινόμενον εἰς τιμὴν τοῦ Πατρός, ὡς αὐτὸς καὶ τοῦτό φησιν ὁ θεῖος Γρηγόριος, μὴ καὶ εἰς τιμὴν αὐτοῦ δὴ τοῦ τοῦθ᾽ οὕτως οἰκονομοῦντος Υἱοῦ λέγων γίνεσθαι. Τὸ γὰρ μὴ συντιμώμενον, οὐχ ὁμότιμον· τὸ δὲ μὴ ὁμότιμον, οὐδ᾽ ὁμοούσιον· καίτοι καὶ ὅπερ ὁ θεολόγος εἰς δόξαν τοῦ Πατρὸς οἰκονομῆσαι τὸν Υἱὸν εἴρηκε, δηλαδὴ τὸ πάθος ἑαυτοῦ, καὶ τὴν τοῦ αἵματος κένωσιν, καὶ ἑαυτοῦ δόξαν ὁ Υἱὸς προωνόμασε. Νῦν ἐδοξάσθη, φήσας ἐν τῷ καιρῷ τοῦ πάθους, ὁ υἱὸς τοῦ ἀνθρώπου**)· σαφῶς δόξαν ἑαυτοῦ τὸ

*) Ἰωάν. ε΄. 30.
**) Ἰωάν. ιγ΄. 31.



НБ ОНУ імені І.І. Мечникова

πάθος καλέσας· τέως μὲν ὡς ἀνθρώπου, εἶτα δὲ καὶ ὡς Θεοῦ, ἐπάγει γάρ· καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ· διοίσει δ' οὐδὲν εἴθ' ὡς περὶ τοῦ Πατρὸς εἰρημένον μόνου τοῦτο ἐκλήψῃ, εἴθ' ὡς κοινῶς καὶ περὶ ἑαυτοῦ κατὰ τὸ κοινὸν τῆς θεότητος ὄνομα, ὃ καὶ μᾶλλον δοκεῖ. Ἐδοξάσθη γὰρ ἡ Τριὰς ὅλη διὰ τοῦ πάθους ἐν τῷ Υἱῷ, τῷ καὶ ἀνθρώπου υἱῷ γενομένῳ καὶ τὸ πάθος ἰδιουμένῳ τῆς ἀνθρωπότητος διὰ τὴν καθ' ὑπόστασιν τῶν δύο φύσεων ἕνωσιν καὶ οὕτως ὀνομαζομένῳ διὰ τὴν τῶν ἑκατέρας ὀνομάτων τε καὶ ἰδιωμάτων πρὸς ἀλλήλας ἀντίδοσιν. Ἀκόλουθα τούτοις καὶ τὰ ἑξῆς. Εἰ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ, ταὐτὸν δὲ εἰπεῖν, εἰ ὁ Χριστὸς ἐδόξασε τὸν Θεὸν ἐν ἑαυτῷ, καὶ αὐτὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ· ὡς αὐτὸς ὢν ὁ δοξάζων καὶ ὁ δοξαζόμενος ἐν ἑαυτῷ καθ' ἑκάτερον· ὡς μὲν Θεὸς μετὰ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος παρ' ἑαυτοῦ ὡς ἀνθρώπου δοξαζόμενος, ὡς δὲ ἄνθρωπος αὐτὸς μόνος παρὰ τοῦ Θεοῦ ἀντιδοξαζόμενος. Καὶ εὐθύς, φησι, δοξάσει αὐτόν· ὡς μηδενὸς χρόνου τὸν ἑκατέρωθεν δοξασμὸν διακόπτοντος, μᾶλλον δὲ ὡς μιᾶς καὶ τῆς αὐτῆς οὔσης δόξης τοῦ αὐτοῦ καὶ ἑνὸς δοξάζοντος ἅμα καὶ δοξαζομένου διὰ τῆς ὑπὲρ ἡμῶν ἑαυτοῦ θυσίας, ἣν προσφέρει μὲν ὡς ἄνθρωπος, προσδέχεται δὲ ὡς Θεός. Ἠθέτητο μὲν γὰρ παρ' ἡμῶν ὁ Θεὸς καὶ τῆς ὀφειλομένης αὐτῷ δόξης ὡς πλάστῃ καὶ δεσπότῃ καὶ εὐεργέτῃ ἐστέρητο, ἀφ' οὗ πρότερον κατὰ τὸν παλαιὸν ἐκεῖνον Ἀδὰμ τὴν θείαν παρέβημεν ἐντολὴν καὶ τοῦ ἐχθροῦ τὴν

ἐπίβουλον κατεδεξάμεθα συμβουλὴν καὶ τούτῳ κατεδουλώθημεν· οὕτω δὲ καὶ ἡμεῖς ἠτιμάσθημεν, ἀποστολικῶς εἰπεῖν, ἐν οἷς ἐσεβάσθημεν, προσκυνοῦντες ὡς θεοῖς τοῖς μὴ οὖσι θεοῖς, καὶ τοῖς τῆς ἀτιμίας πάθεσιν ὑποκείμενοι. Ἀφ' οὗ δὲ Χριστὸς ὁ νέος Ἀδὰμ ἀναμαρτήτως ἀναδεξάμενος τὸ ἡμέτερον, ὑπήκοος γέγονε μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, καὶ διὰ τῆς τοιαύτης ὑπακοῆς ἔλυσεν ἡμῖν τῆς παρακοῆς τὸ κατάκριμα, προσενέγκας αὐτὸς ἑαυτὸν θυσίαν ζῶσαν, ἁγίαν ὑπὲρ ἡμῶν, ἀπὸ τότε δοξάζεται μὲν ὁ Θεὸς ἐν αὐτῷ, τὴν ὑπὲρ ἡμῶν θυσίαν αὐτοῦ δεχόμενος καὶ ὡς μόνος ὄντως Θεὸς γινωσκόμενος καὶ σεβόμενος· δοξάζεται δὲ καὶ ἡ φύσις ἡμῶν ἐν αὐτῷ, ὡς ἐν δεξιᾷ καθίσασα τοῦ Θεοῦ, καὶ ἡμεῖς αὐτοὶ τῆς τοῦ ἐχθροῦ δουλειας ἀπηλλαγμένοι, καὶ σύσσωμοι καὶ συμμέτοχοι καὶ συγκληρονόμοι Χριστοῦ χρηματίζοντες, καὶ θείας υἱοθεσίας καταξιούμενοι. Οὕτως ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου· οὕτως ὁ Θεὸς ἐν αὐτῷ· οὕτω μία δόξα Πατρὸς καὶ Υἱοῦ, ἡ αὐτὴ καὶ ὡς ἀνθρώπου καὶ ὡς Θεοῦ. Σὺ δὲ λέγων ἄλλον εἶναι τὸν προσδεχόμενον καὶ ἄλλον τὸν προσφέροντά τε καὶ προσφερόμενον, προφανῶς ἁλίσκῃ τὰ Νεστορίου φρονῶν τοῦ φρενοβλαβοῦς, καὶ δύο δογματίζων υἱούς, τὸν μὲν ἀνθρώπου τὸν προσφερόμενον, τὸν δὲ Θεοῦ τὸν μετὰ τοῦ Πατρὸς τὴν προσφορὰν προσιέμενον· εἰ δὲ μὴ συμπροσιέμενον, καὶ Ἀρειανίζων· εἴ γε τὸν μὲν Πατέρα τιμᾷς τῇ προσφορᾷ, τὸν Υἱὸν δὲ ταύτης ἔξω τιθεὶς τῆς τιμῆς, οὐκ

οἶδα πῶς τὸν μονογενῆ, τὸν ὁμοούσιον, τὸν ὁμότιμον, τὸν Κύριον τῆς δόξης, τὸν ἀεὶ συνδοξαζόμενον τῷ Πατρί· ταῦτα γὰρ Ἄρειος ὁ κτισματολάτρης ἀρνεῖται. Εἰ δὲ ταύτας φεύγων τὰς ἀτοπίας ἕνα μὲν τηρεῖς τὸν Χριστὸν καὶ Θεάνθρωπον ὀνομάζεις, οὐκέτι δὲ καὶ τὰς κατ᾽ αὐτὸν φύσεις διαιρεῖς, ὡς τῇ μὲν νέμειν τὸ προσφέρεσθαι, τῇ δὲ τὸ προσδέχεσθαι, δῆλος εἶ τὴν Εὐτυχοῦς τοῦ δυστυχοῦς τῷ ὄντι πρεσβεύων σύγχυσιν μετὰ τοῦ καὶ τὴν Ἀρειανὴν αἵρεσιν ἐπισύρεσθαι καὶ διὰ τὴν τῆς σαρκὸς πρόσληψιν ἐλάττω δογματίζειν τοῦ Πατρὸς τὸν Υἱόν, πρὸς ὃν*) τάχα καὶ ἡ τῆς τιμῆς ὑφαίρεσις ἀφορᾷ. Ὁ μὲν δὴ πρὸς τὰς ἄρτι φυείσας αἱρετικὰς ἐρεσχελίας λόγος ὧδέ μοι πεπαύσθω. Δοκῶ γάρ μοι καὶ ταύτας ἤδη καταπεπαῦσθαι καὶ πρὸς κατάδυσιν ἀντεστράφθαι τῇ μεγαλοφωνίᾳ τῶν εὐαγγελικῶν καὶ ἀποστολικῶν καὶ πατρικῶν ῥήσεων. Λοιπὸν δὲ ὁ τῶν τοιούτων ζιζανίων σπορεὺς εἰσπραττέσθω λόγους τῆς ἐπιδευτερωθείσης αὐτῷ ταύτης κακεντρεχείας. Τί τοίνυν, ὦ πονηρέ, καὶ τῆς εἰρήνης ἐχθρέ, καὶ τῆς ἀπωλείας δημιουργέ, καὶ τῆς σωτηρίας ἐπίβουλε, καὶ τῆς εὐσεβείας ἀντίπαλε, ὄφι σκολιὲ καὶ διάστροφε πρὸς πᾶσαν εὐθύτητα, μισάνθρωπε καὶ μισόθεε, τὸ ὅλον διάβολε, τί τὰς πάλαι καλῶς ἀνατραπείσας καὶ κατασιγασθείσας αἱρέσεις σπεύδεις αὖθις ἀνεγείρειν κακῶς καὶ ἀνακινεῖν; τί τὰς

*) ἐν τῷ χειρογ. πρὸς ὅ.

ᾅδου πύλας τὰς ἐπαρθείσας κατὰ τῆς ἐκκλησίας, τῆς ἐν τῇ πίστει Χριστοῦ στεῤῥῶς ἡδρασμένης, εἶτα κλεισθείσας καὶ τέλεον καταβληθείσας, ἀναλαμβάνειν καὶ παρανοίγειν; εἴ πως πάλιν δι' αὐτῶν παρεισδύσεις ὅθεν ἐκβέβλησαι; Τί τοὺς ἄρτι συντετριμμένους σιδηροῦς σου μοχλοὺς ἀναχαλκεύειν πειρᾷ; εἴ πως κατασείσεις τὴν ἀκατάσειστον καὶ κατισχύσεις τῆς ἐν ἰσχύϊ τοῦ θείου λόγου κατισχυούσης σου; Τί τὸ ἓν ταύτης σῶμα μηχανᾷ διασχίζειν καὶ κατατέμνειν, καὶ τὸν ἐν αὐτῇ καλῶς ἡνωμένον καὶ συγκεκροτημένον ὀρθότητι πίστεως χορὸν ἱερὸν παραλύειν καὶ διιστᾶν ἀπ' ἀλλήλων τοὺς θιασώτας καὶ ἀλλήλοις ἐπανιστᾶν, καὶ οὕτως ὡς ἐν νυκτομαχίᾳ τὴν τῶν ἀδελφῶν εἰρήνην, τῶν τέως ὁμοφρόνων μέχρι καὶ τοῦδε, τῶν ὁμοπίστων, ἀντιπεριάγειν εἰς πόλεμον; Ἀλλ' οὐκ ἠγνόηταί σου παντάπασι τὰ βουλεύματα· πεφώραται τὰ πανουργεύματα· κατασεσόφισται τὰ σοφίσματα· ὡς ἀπόλοιτό σου καὶ πᾶσα κακία καὶ πονηρία, καὶ σὺ πρῶτος ὁ τῶν τοιούτων εὑρετὴς καὶ δημιουργός. Εἰ γὰρ καὶ λάθων κακοτρόπως τινὰς συνήρπασας· ἀπείη δ' εἰπεῖν καὶ ὅτι ἐκέρδησας· τέως δ' οὖν πρὸς σεαυτὸν μὲν ἐνεγκεῖν διὰ κακοδοξίας ἔδοξας, οἰήσει δὲ διακένῳ φυσήσας, ἥ σοι νόσος ἐστὶν ἀρχαία, καὶ φρονῆσαι πείσας ὑπὲρ ὃ δεῖ φρονεῖν, ἤπου καὶ σοφίᾳ τῇ ψευδωνύμῳ θαῤῥῆσαι, καὶ κατὰ τὸ λόγιον, ὃ τοῖς τοιούτοις ἐπικληροῖ τὸ οὐαί, παρ' ἑαυτοῖς φανῆναι σοφους καὶ ἐνώπιον αὐτῶν ἐπι-

στήμονας*)· ἀλλ' εἰσὶ καὶ οὓς εὗρες οὐ κοιμωμένους, οὐδὲ βαθεῖ τῷ ὕπνῳ κεκαρωμένους, ἵνα καὶ τούτοις ἐπισπείρῃς τὰ ζιζάνια, δούλους ὄντας Κυρίου, ἑστῶτας ἐν οἴκῳ Κυρίου, καὶ εὐλογοῦντας τὸν Κύριον, ποιμένας ἱερούς, ἀγραυλοῦντας ἐπιστημόνως τῆς πίστεως τὸ μυστήριον καὶ φυλάσσοντας φυλακὰς τῆς νυκτὸς καὶ τὸν λύκον σέ, τὸν κλέπτην, τὸν ἐπιθέτην ἀποσοβοῦντας, οἵτινες ἐν ἀσφαλεῖ τῇ πίστει τοὺς πόδας ἐρείδοντες καὶ μὴ ῥᾳδίως ἐνδιδόντες σαλεύεσθαι· ἔτι καὶ τὸν θεόθεν αὐτοῖς δεδομένον ἔχουσι φύλακα, μηδόλως ἐπινυστάζοντα, τὸν θεόστεπτον καὶ κράτιστον Αὐτοκράτορα, τὸν ἐν τῷ κρατεῖν πρώτως ἑαυτοῦ καὶ τὴν ὀρθὴν πίστιν κρατύνειν ὡς μάλιστα, οὕτως καὶ τὴν κοσμικὴν αὐτοκρατορίαν εὐσεβοφρόνως ἰθύνοντα, τὸν οὐδὲν ἧττον τῆς εὐσεβείας ἢ τῆς βασιλείας προεστῶτα καὶ προασπίζοντα· ὃς τῷ συντόνῳ τῆς ἐγρηγόρσεως τῶν ἀκοιμήτων μὲν ἀστέρων οὐδὲν ἀποδεῖ, ἁμιλλᾶσθαι δὲ καὶ τοῖς ἀσωμάτοις νόοις φιλονεικεῖ, νύκτας ὅλας ἴσα ταῖς ἡμέραις διατελῶν ἄγρυπνος ἐν τῷ τοῦ κοινοῦ φροντίζειν συμφέροντος. Οὗτος οὕτως ἀεὶ διαγρηγορῶν, ἐπειδή σου καὶ νῦν τῆς κατὰ τῆς ἐκκλησίας ἐπιβουλῆς ταύτης ᾔσθετο, καίτοι πλείσταις ὅσαις τρικυμίαις κοσμικῶν πραγμάτων περιαντλούμενος, πάσαις ἀγρίαις, μανικὸν οἷον ἐπαφριζούσαις καὶ δεινὸν ἅπαν ἀπειλούσαις, πάντοθεν ἐπανισταμέναις, ἐκ θαλάσσης, ἐκ γῆς,

*) Ἡσαΐ. ε΄. 21.

ἐγγύθεν, πόρρωθεν, ἐξ οἰκείων, ἐξ ἀλλοτρίων, ἐκ πάντων ἄκρων, ἀνατολῆς, δύσεως, τῶν πέριξ, σὰ καὶ ταῦτα παμπόνηρε πανουργεύματα, ὅπως ἄν, τούτοις ἐπικλιθεὶς ὁ ἀκλόνητος στύλος τῆς εὐσεβείας, ἐάσῃ ταύτην, οὕτως ὑπὲρ *) σοῦ κλονουμένην, ἀστήρικτον· ὁ δὲ ἀκλινὴς ἑστώς, βεβηκώς, ὄρθιος, πάσας μὲν ἐκείνας τὰς κυματώδεις ἐπαναστάσεις σου, οἷά τις οἰακοστρόφος ἐμπειρότατος, περιδεξίως, ὡς ἐνῆν, διεκρούσατο καὶ τὴν κοσμικὴν ὁλκάδα τῷ τέως ἀκύμαντον διεσώσατο· πλὴν ὅσον μὴ καὶ τοῖς κύμασιν ἐπαφεῖναι καὶ τοῖς ἀνέμοις τὴν τοῦ πεφιμῶσθαι καὶ σιωπᾶν ἐπιτίμησιν, ἀλλ' εἰς δεύτερον τοῦτο πλοῦν ἐπιθεῖναι, αὐτὸς δ' ἑαυτὸν ὅλον τῇ ἐκκλησίᾳ φέρων ἐφίστησι καὶ προηγουμένης σπουδῆς ἀξιοῖ τὸ ταύτης τὴν ζάλην εἰς γαλήνην μεταγαγεῖν. Ἔνθεν τοι καὶ στρατὸν ἀξιόμαχον ἀθροίσας ἀνδρῶν ἱερῶν, οὓς ὁ λόγος φθάσας ἐδήλωσε **), προστάτας τῆς ἐκκλησίας, σοφοὺς ποιμένας καὶ διδασκάλους, σὺν τούτοις τὸν πρός σε καὶ τοὺς σοὺς τέως ὑπασπιστὰς συνίστησι πόλεμον καὶ καταστρέφει πᾶν τὸ ἀντίδοξον καὶ τὴν εὐσέβειαν κρατύνει καὶ τὴν ἐκκλησίαν στηρίζει καὶ τὴν νίκην ταύτῃ χαρίζεται καὶ στεφηφορεῖ ἐν-

---

*) ἴσως γραπτ. ὑπό.

**) Οὐδαμοῦ τοῦ λόγου τούτου ἐδήλωσε τὴν ἄθροισιν τῶν ἱερῶν ἀνδρῶν· ἀλλ', ὡς ἐν τῷ προλόγῳ εἶπον, ὁ λόγος οὗτος οὐκ ἔστιν ὁλοσχερής. Σημειωτέον δὲ ὅτι ὁ ἐπίλογος οὗτος ἐστὶν ὁ αὐτὸς σχεδὸν τῷ τοῦ προτέρου λόγου.

НБ ОНУ імені І.І. Мечникова

τεῦθεν ἀξίως ὁ τρισαριστεὺς τῆς ὀρθῆς πίστεως πρόμαχος καὶ τροπαιοῦχος ἀκαταμάχητος. Ἐντεῦθεν, εὖ οἶδα, καὶ θαρρῶν προλέγω, εἴ τι μοι καὶ προφητικοῦ μέτεστι πνεύματος, ὡς καὶ τὸν κύκλῳ συνεπιτεθειμένον κοσμικὸν κατὰ κράτος νικήσει πόλεμον καὶ πᾶν ὕψωμα βαρβαρικὸν καὶ θρασύτολμον καὶ μέχρι καὶ νῦν ἐπηρμένον καταβαλεῖ καὶ καταποντώσει καὶ ἀφανίσει, καὶ σὲ τὸν τούτων συσκευαστὴν τελείως ἐκνευρίσει καὶ καταστρέψει, καὶ ἡμῖν δώσει λαμπρότερον καὶ τρανότερον ᾆσαι τὸν ἐπινίκιον. Ναί, Χριστὲ βασιλεῦ Ἐμμανουήλ, τῷ χριστῷ σου βασιλεῖ, ἤδη δὲ καὶ τὸ τρίτον πλὴν τῆς πρώτης συλλαβῆς ὁμωνύμῳ σοι Μανουήλ, καὶ τοῦτο πρὸς ἔνδειξιν τάχα τοῦ σὲ μόνον πάντων προέχειν ἐν ἑαυτῷ τὰς ἀρχάς, ταῦθ᾽ οὕτω γένοιτο, καὶ τὸ κράτος φυλάττοιτο πολυχρόνιον.

НБ ОНУ імені І.І.Мечникова

Ἐκ τοῦ Τυπογραφείου Οθ. Βιγάνδου.

НБ ОНУ імені І.І.Мечникова